


VE RI
TAS





ΑΙΣΧΥΛΟΣ.

ÆSCHYLI TRAGŒDIÆ,

QUÆ SUPERSUNT,

AD TEXTUM


CHR. GOD. SCHÜTZII

EXPRESSÆ.

ACCEDIT

VERSIO LATINA.

TOMUS I.





LONDINI:

IMPENSIS G. ET W. B. WHITTAKER.

1823.

ΒΙΟΣ ΑΙΣΧΥΛΟΥ.

ΑΙΣΧΥΛΟΣ ὁ Τραγικὸς, γένος μὲν ἦν Ἀθηναῖος, Ἐλευσίνιος τὸν δῆμον, υἱὸς Εὐφορίωνος, Κυναιγείρου ἀδελφὸς καὶ Ἀμεινίου, ἐξ εὐπατριδῶν τὴν φύσιν ἔχων· νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν, καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας, καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Ἀριστοφάνης φησὶν,

Ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ,
Καὶ κοσμήσας τραγικὸν λῆρον.—

Συνεχρόνισε δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν τεσσαρακοστὴν Ὀλυμπιάδα. γενναῖον δέ φασιν αὐτὸν, καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ ἀδελφῷ Κυναιγείρῳ, τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας, σὺν τῷ νεωτέρῳ ἀδελφῷ Ἀμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας. κατὰ δὲ τὴν σύνθεσιν τῆς ποιήσεως ζηλοῖ τὸ ἁδρὸν ἀεὶ καὶ ὑπέρογκον, ὀνοματοποιΐαις τε καὶ ἐπιθέτοις, ἔτι δὲ καὶ μεταφοραῖς, καὶ πᾶσι τοῖς δυναμένοις ὄγκον τῇ φράσει περιθεῖναι χρώμενος. αἵ τε διαθέσεις τῶν δραμάτων οὐ πολλὰς αὐτῷ πε-

ριπετείας καὶ πλοκὰς ἔχουσιν, ὡς παρὰ τοῖς νεωτέροις. μόνον γὰρ σπουδάζει τὸ βάρος περιτιθέναι τοῖς προσώποις, ἀρχαῖον εἶναι κρίνων τουτὶ τὸ μέρος, μεγαλοπρεπές τε καὶ ἡρωϊκόν· τὸ δὲ πανοῦργον, κομψοπρεπές τε καὶ γνωμολογικὸν, ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους. ἐν μὲν γὰρ τῇ Νιόβῃ ἕως τρίτης ἡμέρας ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἐν δὲ δὴ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. διὸ ἐκλογαὶ μὲν παρ' αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι ἂν εὑρεθεῖεν· γνῶμαι δὲ ἢ συμπάθειαι, ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυα ἀγαγεῖν, οὐ πάνυ· ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται. ἀπῆρε δὲ ὡς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν, ὡς ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ· κατὰ δὲ ἐνίους, ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. τινὲς δέ φασιν, ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν, τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὥστε τὰ μὲν νήπια ἐκψύξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι.

Ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἴτνας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικοῦσι τὴν πόλιν. καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελῴοις τιμηθεὶς, ἐπιζήσας τρίτον ἔτος, ὢν ἐτῶν πέντε πρὸς τοῖς ἑξήκοντα, τοῦτον ἐτελεύτα τὸν τρόπον. ἀετὸς χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφίησι κατὰ πετρῶν αὐτὴν, συνθλάσων τὸ δέρμα. ἡ δὲ ἐνεχθεῖσα κατὰ τοῦ ποιητοῦ, φονεύει αὐτόν. χρησμὸς δὲ ἦν αὐτῷ δοθεὶς οὕτως, Οὐράνιόν σε βέλος κατακτανεῖ. ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες, ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτως·

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
  Μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
  Καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Εἰς τὸ μνῆμα δὲ φοιτῶντες, ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος, ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. Ἀθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ, τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου χρυσὸν λαμβάνειν. ἐβίωσε δὲ ἑξήκοντα καὶ τρία ἔτη, ἐν οἷς ἐποίησε δράματα ἑβδομήκοντα, καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ πέντε. νίκας δὲ τὰς πάσας εἴληφε τρεισκαίδεκα· οὐκ ὀλίγας δὲ καὶ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο.

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΑΙΣΧΥΛΟΥ ΔΡΑΜΑΤΩΝ

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΑΓΑΜΕΜΝΩΝ, Ἀθάμας, Αἰγύπτιοι, Αἰτναῖοι γνήσιοι, Αἰτναῖοι νόθοι, Ἀμυμώνη, Ἀργεῖοι, Ἀργὼ ἢ Κωπευστὴς, Ἀταλάντη. Βάκχαι, Βασσάραι. Γλαῦκος ποτνιεύς. Δαναΐδες, Δικτυουργοί. Ἐλευσίνιοι, Ἐπίγονοι, Ἑπτὰ ἐπὶ Θήβας, Εὐμενίδες. Ἠδωνοὶ, Ἡλιάδες, Ἡρακλεῖδαι. Θεώδωροι ἢ Ἰσομοιασταὶ, Θρῇσσαι. Ἱκέτιδες, Ἰξίων, Ἰφιγένεια. Κάβειροι, Καλλιστὼ, Κᾶρες ἢ Εὐρώπη, Κερκύων, Κήρυκες, Κίρκοι σατυρικοὶ, Κρῆσσαι. Λάϊος, Λέων, Λήμνιοι, Λυκοῦργος. Μέμνων, Μυρμιδόνες, Μυσοί. Νεανίσκοι, Νεμέα, Νηρηΐδες, Νιόβη. Ξάντριαι. Οἰδίπους, Ὅπλων κρίσις, Ὀστολόγοι. Πενθεὺς, Περραιβίδες, Πέρσαι, Πηνελόπη, Πολυδέκτης, Προμηθεὺς δεσμώτης, Προμηθεὺς πυρφόρος, Προμηθεὺς λυόμενος, Προπομποὶ, Πρωτεύς. Σαλαμίνιοι, Σεμέλη ἢ Ὑδροφόρος, Σίσυφος δραπέτης, Σφίγξ. Τήλεφος, Τοξότιδες, Τροφοί. Ὑψιπύλη. Φιλοκτήτης, Φορκίδες, Φρύγες ἢ Ἕκτορος λύτρα, Φρύγιοι. Χοηφόροι. Ψυχαγωγία. Ψυχοστασία.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΤΟΥ

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓῼΔΙΑΣ

ΠΡΟΜΗΘΕΩΣ ΔΕΣΜΩΤΟΥ.

ΠΡΟΜΗΘΕΩΣ ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ, πυνθάνεται Ἰὼ πλανωμένη, ὅτι κατ' Αἴγυπτον γενομένη, ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διΐ. προέλεγε γὰρ ὁ Προμηθεὺς, ὡς ἐξωσθήσεται ὁ Ζεὺς τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. τέλος δὲ, βροντῆς γενομένης, ἀφανὴς ὁ Προμηθεὺς γίνεται.

Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος· ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστι, Προμηθέως δέσις.

Ἰστέον δὲ, ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔξεστι συμβαλεῖν.

ΑΛΛΩΣ.

ΠΡΟΜΗΘΕΩΣ ἐκ Διὸς κεκλοφότος τὸ πῦρ καὶ δεδωκότος ἀνθρώποις, δι' οὗ τέχνας πάσας ἄνθρωποι εὕροντο, ὀργισθεὶς ὁ Ζεὺς, παραδίδωσιν αὐτὸν Κράτει καὶ Βίᾳ, τοῖς αὐτοῦ ὑπηρέταις, καὶ Ἡφαίστῳ, ὡς ἂν ἀγαγόντες πρὸς τὸ Καυκάσιον ὄρος, δεσμοῖς σιδηροῖς αὐτὸν ἐκεῖ προσηλώσαιεν. οὗ γενομένου, παραγίνονται πᾶσαι αἱ Ὠκεαναῖαι νύμφαι πρὸς παραμυθίαν αὐτοῦ, καὶ αὐτὸς ὁ Ὠκεανὸς, ὃς δὴ καὶ λέγει τῷ Προμηθεῖ, ἵνα ἀπελθὼν πρὸς τὸν Δία δεήσεσι καὶ λιταῖς πείσῃ αὐτὸν ἐκλῦσαι τοῦ δεσμοῦ Προμηθέα. καὶ Προμηθεὺς οὐκ ἐᾷ, τὸ τοῦ Διὸς εἰδὼς ἄκαμπτον καὶ θρασύ. καὶ ἀναχωρήσαντος τοῦ Ὠκεανοῦ παραγίνεται Ἰὼ πλανωμένη, ἡ τοῦ Ἰνάχου, καὶ μανθάνει παρ' αὐτοῦ, ἅ, τε πέπονθε καὶ ἃ πείσεται, καὶ ὅτι τὶς τῶν αὐτῆς ἀπογόνων λύσει αὐτὸν, ὃς ἦν ὁ Διὸς Ἡρακλῆς, καὶ ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξει τὸν Ἔπαφον. θρασυστομοῦντι δὲ Προμηθεῖ κατὰ Διὸς, ὡς ἐκπεσεῖται τῆς ἀρχῆς ὑφ' οὗ τέξεται παιδὸς, καὶ ἄλλα βλάσφημα λέγοντι, παραγίνεται Ἑρμῆς, Διὸς πέμψαντος, ἀπειλῶν αὐτῷ κεραυνὸν, εἰ μὴ τὰ μέλλοντα συμβήσεσθαι τῷ Διὶ εἴπῃ· καὶ μὴ βουλόμενον βροντὴ καταῤῥαγεῖσα αὐτὸν ἀφανίζει.

Ἡ μὲν σκηνὴ τῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος, ἡ δὲ ἐπιγραφὴ τούτου, ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΤΟΥ

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓῼΔΙΑΣ

Η ΕΠΙΓΡΑΦΕΤΑΙ

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ.

Ο Λάϊος, τῦ Λαβδάκου υἱὸς ὢν, ἐβασίλευεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ἰοκάστην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. φασὶ γὰρ, ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικὸς, καὶ οὐκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ἱπποδαμείας, ὁ Λάϊος ἥρπασεν, ἐρασθεὶς αὐτοῦ, καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν ὑπέδειξε, καθώς περ δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. ὅπερ ὁ Πέλοψ μαθὼν, τὸν Λάϊον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. ἐπεὶ γοῦν ὁ Λάϊος δι' ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλω-

νος μαντεῖον παρεγένετο, ἐρωτήσων, εἰ δέοι τεκνώσασθαι· ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηστήριον,

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθεὶς, συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ' ἧς ἔσχε τὸν Οἰδίποδα· φοβηθεὶς δὲ τὸν χρησμὸν εἰπόντα.

Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,

καθὼς καὶ Πέλοψ κατηράσατο, ἡνίκα ὁ Οἰδίπους ἐγεννήθη, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέους κρίκους διαπερονησάμενος, ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. εὑρόντες δέ τινες αὐτὸν ποιμένες καὶ ἀναλαβόντες, ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτὸν, ἐπιμελείας ἠξίωσε, καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ Οἰδίπους παρά τινος ὑβρισθεὶς, καὶ ὀνειδισθεὶς, ὡς νόθος ἐστὶ καὶ οὐ γνήσιος τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ τὸ μαντεῖον, ὅτι πρόκειταί σοι φονεῦσαι τὸν πατέρα σου, καὶ μητρί σου συνευνασθῆναι. ἀκούσας τε τοῦ χρησμοῦ, κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον διὰ τὰ εἰρημένα, ὡς δοκῶν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα, καὶ τὴν αὐτοῦ γυναῖκα μητέρα· καὶ ἀπῆλθεν εἰς τὴν ἐς Θήβας ὁδόν. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάϊος, ὁ τούτο

πατὴρ, ἀπερχόμενος καὶ αὐτὸς εἰς τὸ μαντεῖον, ἐρωτήσων περὶ τοῦ παρ' αὐτοῦ ἐκτεθέντος παιδὸς, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονε. ἐπεὶ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα εἶπον· παραχώρησον, ὦ ξένε τῷ βασιλεῖ τῆς ὁδοῦ. ὁ δ' οὐκ ἐπείσθη· πληγεὶς δὲ παρὰ τοῦ Λαΐου, ἐμάνη ἐπὶ τούτῳ, καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ' αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς ἐτραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον, εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα· ἥτις αἰνίγματα ἔλεγε, καὶ τὸν μὴ ἰσχύοντα λῆσαι αὐτὰ κατήσθιε. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς βραβεῖον, ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη, δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ, τετράπους δίπους τε καὶ πάλιν τρίπους, ὃ σημαίνει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ Σφὶγξ μανεῖσα ἀνεῖλεν αὑτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρὶ, παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλῆν, τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν, ἐτύφλωσεν ἑαυτὸν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ καθεῖρξαν, κατηράσατο αὐτοὺς, ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν διαμερίσασθαι. οὗ ἕνεκα καὶ φοβούμενοι, τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κα-

τέλειψαν· συμπεφωνήκασι δὲ, ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος, ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι, καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου, ὑποχωροίη ὁ ἕτερος, ὡς ἂν ἐκ τούτου φύγωσι τὴν ἀράν. ὁ γοῦν Πολυνείκης, πρῶτος ὢν, ἐκράτησεν ἕνα χρόνον τῆς βασιλείας, εἶτα ἐξῆλθε, τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς. τοῦ χρόνου δὲ συμπληρωθέντος, ἐπὶ τὸ βασιλεύειν ὁ Πολυνείκης καὶ αὖθις εἰς τὰς Θήβας παρεγένετο κατὰ τὸ συμπεφωνημένον· μὴ παραδεχθεὶς δὲ ὑπὸ Ἐτεοκλέους, εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἄδραστον ἀπῆλθε, καὶ τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονεν, ἐπὶ ὑποσχέσει τοιαύτῃ, ἵνα συνεργήσῃ αὐτῷ ὁ Ἄδραστος ἐπανελθεῖς εἰς τὴν ἰδίαν πόλιν, καὶ βασιλείας δράξασθαι. λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατιὰν πλείστην, ἄπεισιν εἰς Θήβας κατὰ τοῦ οἰκείου ἀδελφοῦ. ἔνθα καὶ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ ὑπ' ἀλλήλων ἐφονεύθησαν.

Ἡ μὲν οὖν σκήνη τοῦ δράματος ἐν Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων· ἡ δὲ ὑπόθεσις, στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους τοὺς καὶ νικήσαντας· καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβας, διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν τὰς πύλας τῶν Θηβῶν. εἰσὶ δὲ αὗται αἱ Θῆβαι ἑπτάπυλοι· αἱ δὲ ἐν τῇ Αἰγύπτῳ οὖσαι ἑκατοντάπυλοι.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΤΟΥ

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ

Η ΕΠΙΓΡΑΦΕΤΑΙ

ΠΕΡΣΑΙ.

ΓΛΑΥΚΟΣ ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν φησὶ Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην,

Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.

πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν στρωννύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις. ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικὰ, ὡς ὅτε λέγει, δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ,

Τύριον οἶδμα λιποῦσα·

τὰ δὲ στάσιμα, ὡς ὅτε ἵσταται, καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος· τὰ δὲ κομματικὰ, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται. καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου· ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτὰ, ἢ καὶ δεκατέσσα-

ρας. καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθεὶς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων, διεπεραιώθη εἰς τὴν Ἀσίαν. Ἰστέον δὲ, ὅτι οἱ Ἕλληνες τριακοσίας μόνον νῆας εἶχον. πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα. δευτέρα, ἐπὶ Ξέρξου, περὶ Σαλαμῖνα καὶ Πλαταιὰς, τοῦ Θεμιστοκλέους στρατηγοῦ ὄντος τότε τῶν Ἀθηναίων καὶ ῥήτορος, καὶ νῆας εἰπόντος ποιῆσαι καὶ ἀντιτάξασθαι πρὸς τὸν Ξέρξην. οὗ καὶ γενομένου, περιεγένοντο αὐτοῦ. ὁ Ἀπόλλων γὰρ τοῖς Ἀθηναίοις μαντευομένοις, πῶς τῶν Περσῶν περιγενήσονται, εἶπε τείχη ξύλινα κατασκευάσαι, καὶ οὕτω περιγενέσθαι αὐτῶν, καὶ οἱ μὲν τείχη ἔλεγον ποιῆσαι εἰς τὴν πόλιν ξύλινα ἀντὶ τῶν λιθίνων· ὁ δὲ Θεμιστοκλῆς οὐχ οὕτως, ἀλλὰ νῆας εἶπε ποιῆσαι, αἳ πολλάκις διὰ τῶν οἰκείων τειχῶν σώζουσι τοὺς ἀνθρώπους. ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ ποτνιεῖ, Προμηθεῖ. τούτου τοῦ Ξέρξου πατὴρ μὲν ἦν Δαρεῖος ὁ Περσῶν βασιλεὺς, μήτηρ δὲ Ἄτοσσα. γίνωσκε δὲ, ὅτι Δαρεῖοι τρεῖς εἰσι· πρῶτος δὲ τούτων υἱὸς Ὑστάσπου, προκριθεὶς ὑπὸ τῶν Περσῶν, καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν καὶ Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας· δεύτερος δὲ ὁ Ἀρταξέρξου πατὴρ, Σύρος προσαγορευθεὶς, ἢ Νόθος· ἔσχατος δὲ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου τοῦ Φιλίππου καταλυθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον λέγουσιν εἶναι.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΤΟΥ

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ

Η ΕΠΙΓΡΑΦΕΤΑΙ

ΑΓΑΜΕΜΝΩΝ.

ΑΓΑΜΕΜΝΩΝ εἰς Ἴλιον ἄπιων, τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσει τὸ Ἴλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται, καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λύφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ. Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον, καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα

τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται, ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε. πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν, ἑκάτερον διϊσχυριζόμενον περὶ τῆς ἀναιρέσεως, ἑνὶ κεφαλαίῳ· τὴν μὲν, τῇ ἀναιρέσει Ἰφιγενείας· τὸν δὲ, ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους, Ὀλυμπιάδι εἰκοστῇ ὀδόῃ *, ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

* Correxerunt viri docti, ὀγδοηκοστῇ· (quod facile mutari potuit in ὀγδόῃ εἰκοστῇ.)

ARGUMENTUM

ÆSCHYLI TRAGŒDIÆ

QUÆ INSCRIBITUR

CHOEPHORŒ.

Orestes jussu Oraculi una cum Pylade Argos reversus, tumulum patris sui Agamemnonis invisit; ubi vir-

ginum cœtui Clytemnestræ famularum occurrit, quas illa somnio exterrita, consultis conjectoribus, ad placandos manes mariti cum inferiis miserat. His adjunxerat se soror ejus Electra; cui Orestes per varia indicia innotescit. Ab iis totam rem edoctus, regias ædes accedit, viatorem se fingens e Phocide Dauliensem, qui obiter mandata acceperat Orestis mortem parentibus ejus nunciandi. Ægisthum, hoc ut audiat, lubenter egressum derepente interficit; cujus clamore evocata Clytemnestra, et pro vita sua apologia brevi usa, a filio suo interempta est. Hac patrata cæde, maternis furiis agitatus Orestes Delphos profugit.

Scena Fabulæ Argis constituitur: Chorus autem constat ex virginibus cum inferiis ad tumulum Agamemnonis profectis. Titulus Tragœdiæ CHOEPHORŒ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΤΟΥ

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ

Η ΕΠΙΓΡΑΦΕΤΑΙ

ΕΥΜΕΝΙΔΕΣ.

ΟΡΕΣΤΗΣ ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐριννύων, βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθή-

νας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς. ἧς βουλῇ νικήσας, κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐριννύας πραΰνας, προσηγόρευσεν Εὐμενίδας. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

ARGUMENTUM
ÆSCHYLI TRAGŒDIÆ
QUÆ INSCRIBITUR
SUPPLICES.

Danai filiæ quinquaginta, patruelium, Ægypti filiorum, nuptias evitandi gratia, per mare in terram Argivam aufugiunt: de quarum adventu rex certior factus, satellitibus stipatus eas adit, inopini appulsus rationem postulaturus. Huic et prosapiam suam, et fugæ causam exponunt: a quo, non sine plebis consultu (præsertim quod ab Io ex Argis oriundæ fuerint) hospitio excipiuntur. Confestim ex parte filiorum Ægypti supervenit præco, ni traderentur ei virgines, bellum indicturus: cujus spretis minis, Argivi Danaides in urbem recipiunt.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΚΡΑΤΟΣ ΚΑΙ ΒΙΑ.
ΗΦΑΙΣΤΟΣ.
ΠΡΟΜΗΘΕΥΣ.
ΧΟΡΟΣ ΩΚΕΑΝΙΔΩΝ ΝΥΜΦΩΝ.
ΩΚΕΑΝΟΣ.
ΙΩ Η ΙΝΑΧΟΥ.
ΕΡΜΗΣ.

PROMETHEUS VINCTUS.

ROBUR ET VIS, VULCANUS, PROMETHEUS.

ROBUR ET VIS.

In extremum quidem venimus terræ solum,
Scythicam in viam, aviam in solitudinem :
Tibi vero Vulcane oportet curæ esse mandata
Quæ tibi pater commisit, hunc ad petras
Præcelsas facinorosum ut constringas
Vinculorum adamantinorum firmissimis pedicis.
Tuum enim decus, ignis omnium artificis jubar,
Mortalibus furatus præbuit ; hujusmodi autem
Delicti oportet ipsum diis pœnas expendere,
Ut discat Jovis imperium colere,
Et desistere a studio erga homines benevolo.

VUL. Robur, et Vis, quoad vos quidem mandatum Jovis
Est expeditum, nihilque vobis amplius impedimento est ;
Ego autem non sustineo cognatum deum

ΑΙΣΧΥΛΟΥ ΠΡΩΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

ΚΡΑΤΟΣ ΚΑΙ ΒΙΑ, ΠΡΟΜΗΘΕΥΣ, ΗΦΑΙΣΤΟΣ.

ΚΡΑΤΟΣ.

ΧΘΟΝΟΣ μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν.
Ἥφαιστε σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς,
Ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι,
Ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις.
Τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας
Θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
Ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην·
Ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
Στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.

ΗΦΑΙΣΤΟΣ.

Κράτος, Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
Ἔχει τέλος δὴ, κοὐδὲν ἐμποδὼν ἔτι.
Ἐγὼ δ᾽ ἄτολμός εἰμι συγγενῆ θεὸν

Δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
Πάντως δ' ἀνάγκη τῶνδ' ἐμοὶ τόλμαν σχέθειν.
Ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
Τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
Ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι
Προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
Ἵν' οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν
Ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ
Χροιᾶς ἀμείψεις ἄνθος, ἀσμένῳ δέ σοι
Ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος·
Πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
Ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
Τρύσει σ'· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
Τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.
Θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον,
Βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης·
Ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
Ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ.
Πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
Φθέγξῃ. Διὸς γὰρ δυσπαραίτητοι φρένες·
Ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατεῖ.
Κρ. Εἶεν. τί μέλλεις καὶ κατοικτίζῃ μάτην;
Τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεὸν,
Ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;
Ἡφ. Τὸ συγγενές τοι δεινὸν, ἥ θ' ὁμιλία.
Κρ. Ξύμφημ'· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων

Alligare per vim, rupis ad hunc recessum tempestuosum.
Nihilo secius tamen necesse est ut ad hæc me obfirmem.
Negligere enim mandata patris grave est.
Themidis rectæ-consultricis fili altum-sapiens,
Invitum te invitus tenacibus ferramentis
Compingam ad hanc inhospitalem crepidinem,
Ubi nec vocem, nec cujusquam mortalium formam
Videbis, sed tostus fervida solis flamma
Coloris mutabis florem, quin cupido tibi
Nox variegata occultabit lucem,
Pruinamque matutinam rursus sol dissipabit;
Semper autem præsentis mali molestia
Te cruciabit: quia qui compescat ista nullibi est
Hunc igitur fructum cepisti tui in homines amoris.
Deus enim haud veritus iram deorum,
Mortalibus ultra fas divisisti dona:
Quapropter hanc inamabilem custodies petram
Erectus, insomnis, non flectens genu.
Plorationes autem et luctus multos inutiles
Ejulabis. Jovis enim animus placatu difficilis est:
Rigidus vero omnis qui modo cœpit imperare.

ROB. Siet: quid tu cunctaris, et frustra misereris?
Cur non istum diis invisissimum odisti deum,
Qui tuum hominibus prodidit munus?

VUL. Sed nimirum magnam vim habet cognatio et consuetudo.

ROB. Fateor; at repugnare mandatis patris

Quo potis es modo? annon hoc metuis magis?
VUL. Imo tu semper immisericors et audaciæ plenus.
ROB. Quippe hunc deflere nullum est remedium.
Proinde ut ne frustra agas quæ nihil prosunt.
VUL. O multum exosa manuum solertia.
ROB. Quid eam destestaris? nam, ut paucis dicam quod res est,
Præsentium malorum nullo modo ars ipsa causa est.
VUL. Utinam tamen quis alius eam accepisset.
ROB. Omnia sunt diis concessa præterquam imperare.
Nam nullus est liber nisi Jupiter.
VUL. Novi, neque his habeo quod dicam contra.
ROB. Quin ergo festinas vincula isti circumjicere,
Ne te cunctantem animadvertat pater?
VUL. Atqui licet parata brachialia intueri.
ROB. Capiens ea (brachialia) vi valida
Circum manus malleo tunde, et affige ad petras.
VUL. Jam perficitur, neque segniter peragitur opus.
ROB. Tunde amplius, constringe, nusquam laxa.
Peritus est enim inveniendi vias etiam ex rebus desperatissimis.
VUL. Aptatum est hoc brachium inextricabiliter.
ROB. Hoc etiam nunc infibula firmiter, ut
Discat se esse Jove minus solertem veteratorem.
VUL. Te excepto nullus alius jure culpaverit me.
ROB. Nunc clavi adamantini audacem mandibulam
Valide trans pectus fige.
VUL. Heu heu Prometheu, ingemisco propter tuos labores.

Οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
Ἡφ. Ἀεί γε δὴ νηλὴς σὺ, καὶ θράσους πλέως.
Κρ. Ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι. σὺ δὲ
Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Ἡφ. Ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
Κρ. Τί νιν στυγεῖς; πόνων γὰρ, ὡς ἁπλῷ λόγῳ,
Τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
Ἡφ. Ἔμπας τὶς αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
Κρ. Ἅπαντ' ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν.
Ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
Ἡφ. Ἔγνωκα, τοῖσδε κ' οὐδὲν ἀντειπεῖν ἔχω.
Κρ. Οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν,
Ὡς μή σ' ἐλινύοντα προσδερχθῇ πατήρ;
Ἡφ. Καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.
Κρ. Λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
Ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
Ἡφ. Περαίνεται δὴ κ' οὐ ματᾷ τοὖργον τόδε.
Κρ. Ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῆ χάλα.
Δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους.
Ἡφ. Ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
Κρ. Καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς, ἵνα
Μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.
Ἡφ. Πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
Κρ. Ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
Στέρνων διαμπὰξ πασσάλευ' ἐῤῥωμένως.
Ἡφ. Αἶ αἶ Προμηθεῦ, σῶν ὕπερ στένω πόνων.

Κρ. Σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὕπερ
Στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ.
Ἡφ. Ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.
Κρ. Ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
Ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
Ηφ. Δρᾷν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
Κρ. Ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρός.
Χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.
Ἡφ. Καὶ δὴ πέπρακται τοὖργον οὐ μακρῷ πόνῳ.
Κρ. Ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας,
Ὡς οὐπιτιμητής γε τῶν ἔργων βαρύς.
Ἡφ. Ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.
Κρ. Σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
Ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.
Ἡφ. Στείχωμεν, ὡς κῶλοισιν ἀμφίβληστρ' ἔχει.
Κρ. Ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα
Συλῶν, ἐφημέροισι προστίθει. τί σοι
Οἷοίτε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
Ψευδωνύμως σε δαίμονες Προμηθέα
Καλοῦσιν. αὐτὸν γάρ σε δεῖ προμηθέως,
Ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσῃ τύχης.

ΠΡΟΜΗΘΕΥΣ ΜΟΝΟΣ.

Ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαὶ,
Ποταμῶν τε πηγαὶ, ποντίων τε κυμάτων
Ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,

ROB. Tu vero rursus cunctaris, et super hostibus Jovis
Ingemiscis ? vide ne tui ipsius misereare postea.
VUL. Cernis spectaculum oculis, intolerabile.
ROB. Cerno istum meritis digna consecuturum.
Sed conjice circum latera catenas.
VUL. Necesse est ut ista peragam, ne nimis imperes.
ROB. Profecto imperabo, et altiore voce insuper acclamabo.
Descende, et crura violenter annulo cinge.
VUL. Atqui jam peractum est hoc opus haud magno labore.
ROB. Strenue nunc impinge perforatos compedes,
Quippe horum exactor operum gravis est.
VUL. Lingua tua garrit similia formæ tuæ.
ROB. Tu malacissare; hanc vero meam pervicaciam,
Et animi asperitatem ne exprobra mihi.
VUL. Discedamus, quoniam membra irretitus est.
ROB. Hic nunc proterve gestias, et deorum dona
Furatus conferas mortalibus. Quid tibi
Homines possunt ab istis laboribus detrahere ?
Falso te dii Promethea
Vocant; tu enim ipse eges Prometheo [*qui te doceat*]
Quo pacto evolvaris ex ista fortuna.
PRO. O aër immense, et flactus celeribus alis,
Fluviorumque fontes, marinorumque fluctuum
Cachinnus innumerabilis, et terra omniparens,
Invoco etiam Solis orbem omnia cernentem:

Videte qualia ipse deus a diis patior:

Aspicite qualibus plagis
Peresus, per myriadum annorum
Tempus laboraturus sim: talia iste novitius
Deorum dux adversus me excogitavit
Vincula immitia.
Heu heu, et præsentem et futuram
Calamitatem ingemisco. quando tandem ærumnarum
Istarum terminos oportet exorire?
Quanquam quid hæc dico? omnia præcipio
Accurate quæ sunt futura, nec mihi inopinato
Malum ullum eveniet: cæterum destinatam oportet
Facillime ferre sortem, gnarum quod
Necessitatis est inexpugnabile robur.
Sed neque tacere, neque non tacere fortunam
Hanc possibile mihi est; nam hominibus dona
Ferens, difficultatibus hisce subjugatus sum miser:
Et quod cleperem ferula-conceptum ignis
Fontem furtivum, qui magister artis
Omnis mortalibus apparuit, et magnum lucrum.
Pœnas pro talibus delictis luo
Sub dio vinculis affixus.
Heu heu, ah ah.
Quis sonus, quis odor voce carens advolavit ad me?

Καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
Ἴδεσθέ μ', οἷα πρὸς θεῶν πάσχω θεός.
Δέρχθηθ' οἵαις αἰκίαισι
Διακναιόμενος τὸν μυριετῆ
Χρόνον ἀθλεύσω. τοιόνδ' ὁ νέος
Ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ
Δεσμὸν ἀεικῆ.
Αἶ αἶ τὸ παρὸν, τό τ' ἐπερχόμενον
Πῆμα στενάχω. πῆ ποτε μόχθων
Χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι;
Καί τοι τί φημι; πάντα προὐξεπίσταμαι
Σκεθρῶς τὰ μέλλοντ', οὐδ' ἐμοὶ ποταίνιον
Πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
Αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
Τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.
Ἀλλ' οὔτε σιγᾷν, οὔτε μὴ σιγᾷν τύχας
Οἷόντ' ἐμοὶ τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
Πορὼν, ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας·
Ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
Πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
Πάσης βροτοῖς πέφηνε, καὶ μέγας πόρος.
Τοιῶνδε ποινὰς ἀμπλακημάτων τίνω,
Ὑπαίθριος δεσμοῖσι πασσαλευτὸς ὤν.

ΠΡΟΜΗΘΕΥΣ, ΧΟΡΟΣ.

Πρ. Ἆ, ἆ, ἔα, ἔα. τίς ἀχὼ,

Τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής;
Θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
"Ικετο τερμόνιόν τις ἐπὶ πάγον;
Πόνων ἐμῶν θεωρὸς, ἢ τί δὴ θέλων;
'Ορᾶτε δεσμώτην με δύσποτμον θεὸν,
Τὸν Διὸς ἐχθρὸν, τὸν πᾶσι θεοῖς
Δι' ἀπεχθείας ἐλθόνθ', ὁπόσοι
Τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
Διὰ τὴν λίαν φιλότητα βροτῶν.
Φεῦ, φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω
Πέλας οἰωνῶν; αἰθὴρ δ' ἐλαφραῖς
Πτερύγων ῥιπαῖς ὑποσυρίζει.
Πᾶν μοι φοβερὸν τὸ προσέρπον.
Χο. Μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις στρ. α'.
Πτερύγων θοαῖς ἁμίλλαις
Προσέβα τόνδε πάγον, πατρῴας
Μόγις παρειποῦσα φρένας.
Κραιπνοφόροι δ' ἐμ' ἔπεμψαν αὖραι.
Κτύπου γὰρ ἀχὼ χάλυβος διῇξεν ἄντρων,
'Εκ δ' ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ·
Σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.
Πρ. Αἶ, αἶ, αἶ, αἶ,
Τῆς πολυτέκνου Τηθύος ἔκγονα,
Τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου
Χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες
Πατρὸς 'Ωκεανοῦ· δέρχθητ', ἐσίδεσθ'

Divinusne an mortalis, an medioxumus?
Numquis ad extreman hanc rupem accedit?
Laborum meorum spectator, an quid aliud volens?
Videtis vinctum me, infelicem deum,
Jovis hostem, omnibus diis
Odio habitum, quotquot
Jovis aulam ingrediuntur,
Propter nimium erga homines amorem.
Heu heu, quemnam rursus audio
Strepitum volucrum prope? nam æther levibus
Alarum ictibus stridet.
Omne quod adpropinquat mihi formidabile.

CHO. Ne quicquam metuas; hæc enim cohors amica [*strophe* 1.
Alarum velocibus alternationibus [alterno remigio]
Advenit ad hanc rupem, paterno
Animo ægre persuaso.
Auræ autem veloces me miserunt:
Sonus enim ex ferri stridore penetravit in antra,
Et excussit mihi erubescentem verecundiam:
Celeriter vero adveni discalceata curru alato.

PRO. Heu heu,
Progenies Thetidis fœcundæ,
Et circumfluentis omnem
Terram fluxu irrequieto filiæ
Patris Oceani, aspicite

Quali vinculo affibulatus,
In summis scopulis hujus præcipitii
Excubias inoptabiles obibo.

CHO. Video Prometheu: sed meis horrenda oculis [*antist.* 1.
Irruit nebula, lachrymarum
Plena, cum conspexi corpus tuum
Ad petras exsiccatum
Hisce adamantinis noxis. [i. *clavis noxiis*]
Nam novi gubernatores obtinent Olympum,
Novisque legibus Jupiter inique imperat,
Quæ olim sancita, nunc obliterat.

PRO. Imo vero si me subtus terram, et infra Orcum
Defunctos recipientem, in interminabilem
Tartarum demisisset, vinculis indissolubilibus
Inclementer applicitum, ut neque deus,
Neque quis alius hisce gauderet.
Nunc vero miser subdiale motaculum
Patior inimicis grata.

CHO. Quis est adeo duri cordis [*strophe* 2.
Deorum, cui hæc sint jucunda?
Quis non commisereatur malis
Tuis, præter scilicet Jovem? at ille perpetuo severe
Animum inflexibilem reddens,
Domat cœlicolarum genus: neque prius desinet
Quam aut ipse satiarit cor suum, aut quis arte
Aliqua occuparit imperium hoc occupatu difficile.

Οἴῳ δεσμῷ προσπορπατὸς,
Τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
Φρουρὰν ἄζηλον ὀχήσω.

Χο. Λεύσσω Προμηθεῦ. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ἀντις. α'.
Ὁμίχλη προσῆξε πλήρης
Δακρύων, σὸν δέμας εἰσιδούσῃ
Πέτρᾳ προσαυαινόμενον
Ταῖσδ' ἀδαμαντοδέτοισι λύμαις.
Νέοι γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου,
Νεοχμοῖς δὲ νόμοις Ζεὺς ἀθέτως κρατύνει,
Τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.

Πρ. Εἰ γάρ μ' ὑπὸ γῆν, νέρθεν τ' Ἅιδου
Τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
Τάρταρον ἧκεν, δεσμοῖς ἀλύτοις
Ἀγρίως πελάσας, ὡς μήτε θεὸς,
Μήτε τις ἄλλος τοῖσδ' ἐπεγήθει·
Νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας
Ἐχθροῖς ἐπίχαρτα πέπονθα.

Χο. Τίς ὧδε τλησικάρδιος στρ. β'.
Θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ;
Τίς οὐ ξυνασχαλᾷ κακοῖς
Τεοῖσι, δίχα γε Διός; ὁ δ' ἐπικότως ἀεὶ
Θέμενος ἄγναμπτον νόον,
Δάμναται οὐρανίαν γένναν·
Οὐδὲ λήξει πρὶν ἂν ἢ κορέσῃ κέαρ,
Ἢ παλάμᾳ τινὶ τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.

Πρ. Ἦ μὴν ἔτ᾽ ἐμοῦ, καίπερ κρατεραῖς
Ἐν γυιοπέδαις αἰκιζομένου,
Χρείαν ἕξει μακάρων πρύτανις,
Δεῖξαι τὸ νέον βούλευμ᾽, ὑφ᾽ ὅτου
Σκῆπτρον τιμάς τ᾽ ἀποσυλᾶται.
Καίτοι μ᾽ οὐ μελιγλώσσοις πειθοῦς
Ἐπαοιδαῖσιν θέλξει, στερεάς τ᾽
Οὔποτ᾽ ἀπειλὰς πτήξας, τόδ᾽ ἐγὼ
Καταμηνύσω, πρὶν ἂν ἐξ ἀγρίων
Δεσμῶν χαλάσῃ, ποινάς τε τίνειν
Τῆσδ᾽ αἰκίας ἐθελήσῃ.
Χο. Σὺ μὲν θρασύς τε καὶ πικραῖς ἀντις. β'.
Δύαισιν οὐδὲν ἐπιχαλᾷς,
Ἄγαν δ᾽ ἐλευθεροστομεῖς.
Ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος.
Δέδια γὰρ ἀμφὶ σαῖς τύχαις,
Πᾶ ποτε τῶνδε πόνων χρή σε
Τέρμα κέλσαντ᾽ ἐσιδεῖν. ἀκίχητα γὰρ
Ἤθεα, καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς.
Πρ. Οἶδ᾽ ὅτι τραχὺς, καὶ παρ᾽ ἑαυτῷ
Τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ᾽ ἔμπας
Μαλακογνώμων
Ἔσται ποθ᾽ ὅταν ταύτῃ ῥαισθῇ·
Τὴν δ᾽ ἀτέραμνον στορέσας ὀργὴν,
Εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
Σπεύδων σπεύδοντι ποθ᾽ ἥξει.

PRO. Profecto me adhuc, quamlibet validis
Hisce compedibus vexato,
Opus habebit deorum Princeps,
Ad indicandum ei consilium novum quo
Sceptro et honore spoliabitur.
Quamquam me nunquam mellifluis Suadæ
Incantationibus demulcebit, nec rigidas
Minas unquam expavescens, hoc ego
Indicabo, priusquam ex sævis
Vinculis me laxarit, et mihi pœnas pendere
Hujus ignominiæ voluerit.

CHO. Tu quidem audax es, et acerbis [*antistrophe* 2.
Calamitatibus nihil cedis,
Sed nimis libere vociferaris.
At meum animum irritat penitus penetrans timor.
Nam metuo in his malis tuis,
Quo tandem appulsum oportet te horum laborum
Cernere eventum. intractabiles enim
Mores et cor inexorabile habet Saturni filius.

PRO. Scio esse asperum, et penes se
Jus habere Jovem; attamen
Mollietur ejus animus
Tum quando hoc modo contusus fuerit:
Et sedata obstinata ira,
In concordiam et amicitiam mecum
Tandem cupido cupidus redibit.

CHO. Rem omnem aperi et clare nobis enarra,
Quali in delicto te deprehensum Jupiter
Adeo ignominiose et acerbe affligit:
Doce nos, nisi quid offenderis ista narratione.
PRO. Tristia quidem mihi hæc vel dictu sunt,
Sed etiam triste est tacere: ita ubique res meæ infelices [sunt.
Ubi primum dii cœperant alli aliis irasci
Et seditio inter ipsos excitabatur,
Aliis volentibus Saturnum deturbare solio,
Ut scilicet Jupiter regnaret, aliis contra
Annitentibus ne Jupiter unquam diis imperaret;
Ibi ego optime consulens, permovere
Titanas, Cœli et Terræ filios,
Non potui: sed illi dolosas artes
Bellicosis animis aspernati
Putabant, sine negotio, per vim se dominaturos.
Sed mihi mater, non semel tantum, Themis,
Quæ et Terra, (multarum appellationum una forma)
Ut res eventura esset prædixerat:
Quod non per vim, neque cum potentia,
Sed dolo oporteret eos vincere qui rerum essent potituri.
Talia me verbis exponentem,
Non dignabantur prorsus vel adspicere.
Eorum igitur, quæ tum in mentem veniebant, optimum
Videbatur esse, assumpta matre,
Sponte cupienti Jovi assistere.

Χο. Πάντ' ἐκκάλυψον καὶ λέγων ἡμῖν λόγον,
Ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι,
Οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
Δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτη λόγῳ.
Πρ. Ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
Ἄλγος δὲ σιγᾷν· πανταχῇ δὲ δύσποτμα.
Ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου,
Στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
Οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρης Κρόνον,
Ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
Σπεύδοντες ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν·
Ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων, πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
Οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
Ἀτιμάσαντες καρτεροῖς φρονήμασιν,
Ὤοντ' ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν.
Ἐμοὶ δὲ μήτηρ, οὐχ ἅπαξ μόνον, Θέμις,
Καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
Τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει,
Ὡς οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν
Χρείη, δόλῳ δὲ, τοὺς ὑπερέξοντας κρατεῖν.
Τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου,
Οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
Κράτιστα δή μοι τῶν παρεστώτων τότε
Ἐφαίνετ' εἶναι, προσλαβόντα μητέρα,
Ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.

Ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
Κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον,
Αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
Ὁ τῶν θεῶν τύραννος ὠφελημένος,
Κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο.
Ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
Νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
Ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
Αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
Ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
Ἐκαθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα
Ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
Ἀρχήν· βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
Οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀΐστώσας γένος
Τὸ πᾶν, ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
Καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
Ἐγὼ δ' ἐτόλμησ'. ἐξερυσάμην βροτοὺς
Τοῦ μὴ διαῤῥαισθέντας εἰς Ἅδου μολεῖν·
Τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
Πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν.
Θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
Οὐκ ἠξιώθην αὐτὸς, ἀλλ' ἀνηλεῶς
Ὧδ' ἐῤῥύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

Χο. Σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος,
Ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
Μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε

Atque ita meis consiliis, Tartari valde profunda
Vorago occultat Saturnum antiquum,
Una cum auxiliaribus. talibus a me
Beneficiis affectus ille deorum rex,
Mala hac mercede me remuneravit.
Nam inest quodammodo tyrannorum imperio
Hic morbus, ut non fidant amicis.
Cæterum quod interrogatis qua de causa
Me cruciat, hoc jam exponam.
Quamprimum in paterno solio
Consedit, statim diis distribuit præmia
Alia aliis, et ita stabiliebat
Imperium : miserorum autem mortalium rationem
Non habebat ullam, sed deleto isto genere
Universo, volebat aliud novum producere.
Atque his præter me resistebat nemo.
Ego vero id ausus sum. liberavi homines
Ita ut ne extincti ad Inferos descenderent:
Propterea igitur talibus calamitatibus premor,
Toleratu quidem tristibus, visu autem miserabilibus.
Hominum autem misertus, misericordiam assequi
Non sum dignus habitus, sed crudeliter
Hunc in modum tractatus sum, Jovi spectaculum inglorium.
CHO. Ille ferreo est animo et ex petra factus
Prometheu, qui tuis non condolet
Ærumnis : etenim et hæc non aspexisse cuperem,

Et videns corde contristata sum.

PRO. Amicis quidem sum ego miserabilis aspectu.

CHO. Nunquid etiam ultra hæc progressus es?

PRO. Impedivi homines ne fata prospicerent.

CHO. Quo invento hujus morbi remedio?

PRO. Spes cæcas in ipsis collocavi.

CHO. Magnum sane hoc quod præbuisti mortalibus emolumentum.

PRO. Adhæc ego ipsis ignem exhibui.

CHO. Nunc ergo ignem flammeum habent mortales?

PRO. A quo quidem multas ediscent artes.

CHO. Taia igitur ob delicta te Jupiter
Cruciat, nec quicquam de malis laxat?
Neque hujus conflictus tibi propositus terminus?

PRO. Nullus alius, nisi quando ipsi videbitur.

CHO. Sed quomodo videbitur? quæ spes? non cernis te
Deliquisse? quomodo autem deliqueris, neque
Mihi dicere jucundum est, et tibi triste. sed hæc
Missa faciamus: tu vero laborum quære solutionem.

PRO. Facile est si quis extra mala pedem
Habeat, monere et objurgare male
Habentes. Ego vero sciebam hæc omnia,
Sponte sponte deliqui, non inficiabor:
Sed opitulando hominibus, ipse calamitates inveni.
Non tamen putabam me pœnis talibus
Maceratum iri ad petras editas,
Sortitum rupem hanc desertam et solitariam.

Ἔχρηζον, εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.
Πρ. Καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγώ.
Χο. Μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
Πρ. Θνητούς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
Χο. Τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
Πρ. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
Χο. Μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
Πρ. Πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
Χο. Καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
Πρ. Ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
Χο. Τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν
Αἰκίζεταί τε, κοὐδαμῇ χαλᾷ κακῶν;
Οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
Πρ. Οὐκ ἄλλο γ' οὐδὲν, πλὴν ὅταν κείνῳ δοκῇ.
Χο. Δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
Ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν
Καθ' ἡδονὴν, σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
Μεθῶμεν· ἄθλου δ' ἔκλυσιν ζήτει τινά.
Πρ. Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα
Ἔχει, παραινεῖν νουθετεῖν τε τοὺς κακῶς
Πράσσοντας. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην,
Ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
Θνητοῖς δ' ἀρήγων, αὐτὸς εὑρόμην πόνους.
Οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοιαῖσί με
Κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
Τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.

Καί μοι τὰ μὲν παρόντα μὴ 'δύρεσθ' ἄχη,
Πεδοῖ δὲ βᾶσαι τὰς προσερπούσας τύχας
'Ακούσαθ' ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
Πείθεσθ' ἐμοὶ, πείθεσθε, συμπονήσατε
Τῷ νῦν μογοῦντι. ταυτά τοι πλανωμένη
Πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

Χο. Οὐκ ἀκούσαις ἐπεθώϋξας
Τοῦτο Προμηθεῦ,
Καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
Θᾶκον προλιποῦσ', αἰθέρα θ' ἁγνὸν,
Πόρον οἰωνῶν, ὀκριοέσσῃ
Χθονὶ τῇδε πελῶ· τοὺς σοὺς δὲ πόνους
Χρήζω διαπαντὸς ἀκοῦσαι.

ΠΡΟΜΗΘΕΥΣ, ΩΚΕΑΝΟΣ, ΧΟΡΟΣ.

ΩΚΕΑΝΟΣ.

"ΗΚΩ δολιχῆς τέρμα κελεύθου
Διαμειψάμενος πρὸς σὲ Προμηθεῦ,
Τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
Γνώμῃ, στομίων ἄτερ, εὐθύνων.
Ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
Τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
'Εσαναγκάζει· χωρίς τε γένους,
Οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
Νείμαιμ', ἢ σοί.
Γνώσει δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην

Et vos quidem præsentia mala ne mihi defleatis,
Verum descendentes in terram sortem adventantem
Audite, ut totum a principio ad finem cognoscatis.
Obsequimini mihi, obsequimini, compatimini mihi
Jam laboranti. Nam ita pererrans
Infortunium alias alteri assidet. [appropinquat.]

CHO. Non invitis dixisti
Hoc Prometheu,
Et nunc pebe alacri celeriter-mobilem [volucris vehiculi]
Sedem relinquens, aëremque purum,
Viam volucrum, ad asperam
Hanc terram accedo. quin tuos labores
Cupio omnino cognoscere.

OCE. Venio longum itineris spatium
Emensus, Prometheu, ad te,
Hunc alitem velocibus pennis
Imperio sine lupatis gubernans.
Scias vero me compati sorti tuæ.
Ad hoc enim, arbitror, me cognatio nostra
Impellit: et extra genus,
Non est cui potiores partes
Impartirem (*cui plus deferam*) quam tibi.
Quam vera hæc sint cognosces, neque frustra

Verbis gratificari meum est. Agedum
Indica in quo sit tibi succurrendum.
Nunquam enim dices quod Oceano
Alius firmior tibi sit amicus.

PRO. Heu, quid hoc rei? et tu laborum meorum
Venis inspector? quomodo sustinuisti relinquens
Cognominem fluxum, et petris obsita
Natura-fabricata antra, hanc ferri-genitricem
Accedere in terram? ecquid spectaturus fortunam
Advenisti meam, et compassurus malis?
Intuere spectaculum: amicum hunc Jovis,
Qui una constitui regnum ejus,
Qualibus ab ipso miseriis premor.

OCE. Video Prometheu: et quidem suggerere tibi
Volo optima, licet versuto.
Cognosce teipsum, et adapta sibi mores
Novos: nam et novus est rex inter deos.
Sin ita aspera et aculeata verba
Projeceris, cito forsan, te etiam longe superius
Sedens Jupiter audiat, ut tibi amaritudo
Præsens laborum videatur esse ludus.
Tu autem, ô miser, quas habes iras dimitte,
Et quære ab hisce solutionem calamitatibus.
Obsoleta [stulta] forsan videor tibi fari:
Talis vero nimis superbiloquentiæ
Linguæ, Prometheu, merces esse solet.

Χαριτογλωσσεῖν ἔνι μοι. φέρε γὰρ
Σήμαιν᾽ ὅ τι χρή σοι ξυμπράσσειν·
Οὐ γάρ ποτ᾽ ἐρεῖς ὡς Ὠκεανοῦ
Φίλος ἐστὶ βεβαιότερός σοι.
Πρ. Ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
Ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
Ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
Αὐτόκτιτ᾽ ἄντρα, τὴν σιδηρομήτορα
Ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
Ἐμὰς ἀφῖξαι, καὶ ξυνασχαλῶν κακοῖς;
Δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
Τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
Οἵαις ὑπ᾽ αὐτοῦ πημοναῖσι κάμπτομαι.
Ὠκ. Ὁρῶ Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
Θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
Γίνωσκε σαυτὸν, καὶ μεθάρμοσαι τρόπους
Νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
Εἰ δ᾽ ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
Ῥίψεις, τάχ᾽ ἄν σου, καὶ μακρὰν ἀνωτέρω
Θακῶν, κλύοι Ζεὺς, ὥστε σοι τὸν νῦν χόλον
Παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
Ἀλλ᾽ ὦ ταλαίπωρ᾽, ἃς ἔχεις ὀργὰς ἄφες,
Ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
Ἀρχαῖ᾽ ἴσως σοι φαίνομαι λέγειν τάδε·
Τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
Γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίνεται.

Σὺ δ' οὐδέπω ταπεινὸς, οὐδ' εἴκεις κακοῖς,
Πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
Οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ,
Πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
Τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
Καὶ νῦν ἐγὼ μὲν εἶμι, καὶ πειράσομαι,
Ἐὰν δύνωμαι, τῶνδέ σ' ἐκλῦσαι πόνων.
Σὺ δ' ἡσύχαζε, μηδ' ἄγαν λαβροστόμει.
Ἦ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;
Πρ. Ζηλῶ σ' ὅθ' οὕνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
Πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
Καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω.
Πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
Πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ.
Ὠκ. Πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς,
Ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
Ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
Αὐχῶ γὰρ, αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
Δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.
Πρ. Τὰ μέν σ' ἐπαινῶ, κοὐδαμῇ λήξω ποτέ·
Προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
Μηδὲν πόνει. μάτην γὰρ, οὐδὲν ὠφελῶν
Ἐμοὶ, πονήσεις, εἴ τι καὶ πονεῖν θέλοις.
Ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων.
Ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' οὕνεκα

Tu autem nondum es humilis, nec cedis malis,
Sed ad præsentia insuper comparare alia cupis.
Nequaquam tamen, me monitore usus,
Contra stimulos pedem protendes, cernens quod
Monarcha asper nulli obnoxius imperat.
Proinde ego jam eo, et tentabo,
Si modo possim te hisce pœnis exsolvere.
Tu vero quiesce, neque nimis pervicaciter loquaris.
An non accurate nosti, cum sis abundanter sapiens,
Quod linguæ temerariæ damnum infligitur ?

PRO. Felicem te puto quod extra culpam sies, cum
Omnium particeps fueris, omniaque ausus sis mecum.
At nunc ista omitte, neque sit tibi mei cura. Omnino
Enim non pursuadebis ei ; quia non est exorabilis.
Sed videas ne quid ipse lædaris hoc itinere.

OCE. Longe melior es ad consulendum proximis,
Quam tibimet ; hoc re non ratione conjicio.
Sed tu me gliscentem neutiquam retrahes.
Glorior enim, glorior hanc gratiam mihi
Jovem daturum, ut te ex hisce malis liberet.

PRO. Ob hæc quidem te laudo, neque unquam
Desinam *(laudare :)* nam alacritate non deficis ;
Veruntamen nihil labora ; quia frustra, nihil me
Juvans, laborabis, siquidem velis laborare.
Sed tu cum extra teli jactum sis, [cum in tuto sis] quiesce.
Ego enim etsi infelix sim, non ideo

Velim quamplurimis aliis calamitates contingere.
OCE. Nequaquam, quia me etiam infortunia fratris
Atlantes affligunt, qui in locis Hesperiis
Stat, cœli et terræ columnam
Humeris sustinens, onus difficulter portatile.
Et terrigenam illum incolam Ciliciæ antrorum
Conspectus, commiseratus sum, immane monstrum,
Centicipitem vi domitum
Typhona impetuosum, qui cunctis restitit diis,
Horrendis buccis cædem exsibilans; ex oculis
Autem fulgurabat visu-terribilem splendorem,
Tanquam Jovis imperium vi eversurus:
Sed in illum irruit Jovis vigilans telum,
Fulmen caducum expirans flammam,
Quod ei excussit grandisona
Jactatione. nam usque ad ipsa præcordia ictus
Ambustus et tonitruo fractus est viribus:
Et nunc inutile atque protensum corpus,
Jacet prope fretum maritimum
Sub radicibus Ætnæis depressus. In verticibus
Autem summis sedens laminas ignitas cudit
Vulcanus, unde olim cum fragore erumpent
Fluvii ignis, feris maxillis vorantes
Feracis Siciliæ arva spatiosa [lævia].
Talem Typhon ebulliet indignationem fervidis
Telis ex imo astuario ignem exhalante,

Θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
'Ωκ. Οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
Τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
Ἕστηκε, κίον' οὐρανοῦ τε καὶ χθονὸς
Ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
Τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
Ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας,
Ἑκατοντακάρηνον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς,
Σμερδναῖσι γαμφηλῇσι συρίζων φόνον·
Ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
Ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
Ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
Καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
Ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
Κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
Ἐφεψαλώθη κἀξεβροντήθη σθένος·
Καὶ νῦν, ἀχρεῖον καὶ παρήορον δέμας,
Κεῖται στενωποῦ πλησίον θαλασσίου
Ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο·
Κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
Ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
Τῆς καλλικάρπου Σικελίας λευρὰς γύας·
Τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
Θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης,

Καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
Πρ. Σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
Χρῄζεις· σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι·
Ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
Ἔστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
Ὠκ. Οὔκουν Προμηθεῦ τοῦτο γιγνώσκεις, ὅτι
Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
Πρ. Ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ,
Καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.
Ὠκ. Ἐν τῷ προμηθεῖσθαι δὲ καὶ τολμᾷν τίνα
Ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκ' ἐμέ.
Πρ. Μόχθον περισσὸν, κουφόνουν τ' εὐηθίαν.
Ὠκ. Ἔα με τήνδε τὴν νόσον νοσεῖν, ἐπεὶ
Κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.
Πρ. Ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.
Ὠκ. Σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
Πρ. Μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
Ὠκ. Ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;
Πρ. Τούτου φυλάσσου μή ποτ' ἀχθεσθῇ κέαρ.
Ὠκ. Ἡ σὴ, Προμηθεῦ, ξυμφορὰ διδάσκαλος.
Πρ. Στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν.
Ὠκ. Ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον.
Λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
Ὁ τετρασκελὴς οἰωνός· ἄσμενος δέ τ' ἂν
Σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

Jovis licet fulmine concrematus.

PRO. Tu vero non es imperitus, neque me præceptore
Eges; teipsum serva quocunque scis modo:
Ego autem hoc præsens infortunium exantlabo,
Donec Jovis mens iram deponat [irâ respiret].

OCE. Non ergo Prometheu hoc nosti, quod
Iræ concitatæ medici sunt orationes?

PRO. Si quis tempestive cor molliat,
Et non tumentem animum vi atterat.

OCE. At in magno studio conando et audendo, quodnam
Cernas inesse damnum? doce me.

PRO. Laborem supervacuum, et cum levitate stultitiam.

OCE. Sine me hoc morbo laborare, quia
Utilissimum est, recte-sapientem non videri sapere.

PRO. Meum videbitur delictum esse hoc.

OCE. Manifeste domum tua me remittit oratio.

PRO. Vide enim ne te mei commiseratio in odium conjiciat.

OCE. Num ejus qui nuper sedet in omnia-gubernantem thronum?

PRO. Hujus cave ne unquam exacerbetur animus.

OCE. Tua, Prometheu, calamitas mihi est magistra.

PRO. Ito, revertere, retine hanc præsentem mentem.

OCE. Propenso mihi renuntiasti hæc verba.
Nam viam aëris amplam radit pennis
Quadricruris ales, et jam libens
In stabulis propriis inclinaverit genua.

CHO. Deploro tibi exitialem [*strophe* 1.
Fortunam, Prometheu,
Et lachrymas stillans ab oculis
Teneris fluxus genas
Humidis fontibus humectavit
Nam stupenda hæc Jupiter
Propriis legibus administrans,
Insolentem ostentat decessoribus
Diis potentiam.

Tota vero etiamnum lugubriter [*antistrophe* 1.
Regio insonuit,
Magnificamque et
Antiquam deflens tuam
Fratrumque dignitatem,
Et quotquot vicinam sacræ
Asiæ sedem incolunt,
Graviter-gemendis malis tuis
Compatiuntur mortales :

Et terræ Colchidos incolæ [*strophe* 2.
Virgines, in pugnis intrepidæ,
Et plebs Scythiæ,
Qui extremum terræ tractum circa
Mæotidem paludem occupant,
Et Arabiæ Mavortius flos, [*antistrophe* 2.

ΧΟΡΟΣ, ΠΡΟΜΗΘΕΥΣ.

Χο. ΣΤΕΝΩ σε τᾶς οὐλομένας *στροφή.*
Τύχας Προμηθεῦ,
Δακρυσίστακτον δ' ἀπ' ὄσσων
Ῥαδινῶν ῥέος παρειὰν
Νοτίοις ἔτεγξε παγαῖς.
Ἀμέγαρτα γὰρ τάδε Ζεὺς
Ἰδίοις νόμοις κρατύνων,
Ὑπερήφανον θεοῖσι
Τοῖσι πάρος δείκνυσιν αἰχμάν.
Πρόπασα δ' ἤδη στονόεν *ἀντιστ.*
Λέλακε χώρα,
Μεγαλοσχήμονα κἀρχαι-
οπρεπῆ στένουσα τὰν σὰν
Ξυνομαιμόνων τε τιμὰν,
Ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται,
Μεγαλοστόνοισι σοῖσι
Πήμασι συγκάμνουσι θνητοί·
Κολχίδος τε γᾶς ἔνοικοι *ἐπῳδός.*
Παρθένοι, μάχαις ἄτρεστοι,
Καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
Ἔσχατον πόρον ἀμφὶ
Μαιῶτιν ἔχουσι λίμναν,
Ἀραβίας τ' ἄρειον ἄνθος,

Ὑψίκρημνόν θ᾽ οἳ πόλισμα
Καυκάσου πέλας νέμονται,
Δάϊος στρατὸς, ὀξυπρώ-
ροισι βρέμων ἐν αἰχμαῖς.
Μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις μονοστ.
Δαμέντ᾽ ἀκαμαντοδέτοις
Τιτᾶνα λύμαις εἰσιδόμαν θεῶν
Ἄτλανθ᾽, ὃς αἰὲν ὑπείροχον σθένος
Κραταιὸν οὐράνιόν τε πόλον
Νώτοις ὑποστενάζει·
Βοᾷ δὲ πόντιος κλύδων
Ξυμπιτνῶν, στένει βυθὸς,
Κελαινὸς δ᾽ Ἄϊδος ὑποβρέμει μυχὸς
Γᾶς, παγαὶ θ᾽ ἁγνορύτων ποταμῶν
Στένουσιν ἄλγος οἰκτρόν.

Πρ. Μή τι χλιδῇ δοκεῖτε μήτ᾽ αὐθαδίᾳ
Σιγᾷν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
Ὁρῶν ἐμαυτὸν ὧδε προσελούμενον.
Καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
Τίς ἄλλος, ἢ ᾽γὼ, παντελῶς διώρισεν;
Ἀλλ᾽ αὐτὰ σιγῶ. καὶ γὰρ εἰδυίαισιν ἂν
Ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πταίσματα
Ἀκούσαθ᾽, ὥς σφᾶς, νηπίους ὄντας τὸ πρὶν,
Ἔννους ἔθηκα, καὶ φρενῶν ἐπηβόλους.
Λέξω δὲ, μέμψιν οὔτιν᾽ ἀνθρώποις ἔχων,
Ἀλλ᾽ ὧν δέδωκ᾽ εὔνοιαν ἐξηγούμενος.

Quique editam civitatem
Prope Caucasum incolunt,
Exercitus pugnax,
Acuminatis horrens cuspidibus.
Unum quidem solum deorum antea in laboribus
Domitum adamantinis
Corruptelis, Titanem vidi
Atlantem, qui semper supereminens robur
Firmum et cœlestem polum
Humeris ingemiscens-sustinet:
Mugit vero marinus fluctus
Collisus, suspirat fundus,
Et ater Orci secessus fremit
Subtus terram, fontesque fluviorum pure-fluentium
Deplorant dolorem miserabilem.

PRO. Nequaquam existimate fastu aut arrogantia
Me tacere; sed cogitatione mordeor in animo,
Meipsum videns ita insultatum.
Atqui istis novis diis munera
Quis alius, quam ego, prorsus distribuit?
Sed ea taceo: etenim offensiones in hominibus
Vobis dicerem: cæterum offensiones in hominibus
Audite, ut ipsos rudens prius existentes,
Intelligentes effeci, et mente consilii participes.
Dicam vero, nullam reprehensionem in homines
Habens sed in iis quæ dedi benevolentiam

Commemorans, qui primum quidem videntes
Frustra videbant, audientes non audiebant: sed
Somniorum imaginibus similes, longo tempore
Omnia temere commiscebant; et neque lateritias.
Domos soli oppositas sciebant, nec lignorum fabricationem:
Sed subterranei habitabant, velut agiles
Formicæ in secessibus antrorum sole carentibus.
Et nullum erat eis neque hiemis signum,
Neque floridi veris, neque frugiferæ
Æstatis certum: sed sine ratione omnia
Agebant, donec ego ipsis ortus
Astrorum indicavi, et occasus judicatu-difficiles.
Adhæc numerum (i. *Arithmeticam*) artium
Præstantissimam eis inveni literarumque connexiones,
Et memoriam omnium effectricem Musarum matrem:
Primus etiam ad juga copulavi animalia
Jugis servientia et clitellis, utque corporum
Humanorum loco maximos labores
Susciperent, et sub curru duxi freni amantes
Equos, ornamentum prædivitis luxuriæ.
Marivaga vero nullus a me alius
Linivola invenit nautarum vehicula.
Hujusmodi artificia miser cum ego invenerim
Hominibus, ipse non habeo solertiam, qua
Liberer ab hoc nunc præsenti malo.
CHO. Indignum pateris exitium, mente lapsus

Οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
Κλύοντες οὐκ ἤκουον· ἀλλ' ὀνειράτων
Ἀλίγκιοι μορφαῖσι, τὸν μακρὸν χρόνον
Ἔφυρον εἰκῆ πάντα, κοὔτε πλινθυφεῖς
Δόμους προσείλους ἦσαν, οὐ ξυλουργίαν·
Κατώρυχες δ' ἔναιον, ὥστ' ἀήσυροι
Μύρμηκες, ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
Ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ,
Οὔτ' ἀνθεμώδους ἦρος, οὔτε καρπίμου
Θέρους βέβαιον· ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
Ἔπρασσον, ἔς τε δή σφιν ἀντολὰς ἐγὼ
Ἄστρων ἔδειξα, τάς τε δυσκρίτους δύσεις.
Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
Ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
Μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάνην·
Κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
Ζεύγλησι δουλεύοντα σάγμασίν θ', ὅπως
Θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
Γένοινθ'· ὑφ' ἅρματά τ' ἤγαγον φιληνίους
Ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
Θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
Λινόπτερ' εὗρε ναυτίλων ὀχήματα.
Τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
Βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ', ὅτῳ
Τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
Χο. Πέπονθας ἀεικὲς πῆμ', ἀποσφαλεὶς φρενῶν

Πλάνῃ· κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον
Πεσὼν, ἀθυμεῖς, καὶ σεαυτὸν οὐκ ἔχεις
Εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
Πρ. Τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον
Οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
Τὸ μὲν μέγιστον, εἴ τις ἐς νόσον πέσοι,
Οὐκ ἦν ἀλέξημ' οὐδὲν, οὐδὲ βρώσιμον,
Οὐ χριστὸν, οὐδὲ πιστὸν, ἀλλὰ φαρμάκων
Χρείᾳ κατεσκέλλοντο, πρὶν ἐγὼ σφίσι
Ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
Αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
Τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα,
Κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
Ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
Ἐγνώρισ' αὐτοῖς· ἐνοδίους τε συμβόλους,
Γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
Διώρισ', οἵτινές τε δεξιοὶ φύσιν,
Εὐώνυμοί τε, καὶ δίαιταν ἥντινα
Ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
Ἔχθραι τε καὶ στέργηθρα, καὶ ξυνεδρίαι·
Σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
Ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονήν·
Χολῆς, λοβοῦ τε ποικίλην εὐμορφίαν·
Κνίσσῃ τε κῶλα συγκαλυπτὰ, καὶ μακρὰν
Ὀσφὺν πυρώσας, δυστέκμαρτον εἰς τέχνην
Ὥδωσα θνητούς· καὶ φλογωπὰ σήματα

Erras: sed tanquam medicus malus in morbum
Prolapsus, animum despondes, nec potes invenire
Quibus tute remediis sis curabilis.
PRO. Reliqua ex me audiens mirabere magis
Quales artes et quæstus excogitavi.
Hoc maximum, si quis in morbum incideret,
Non erat remedium ullum, neque esculentum,
Neque unguentum, neque poculentum, sed
Pharmacorum inopia exsiccabantur, antequam ego eis
Monstravi salubrium medicamentorum
Compositiones, quibus omnes depellerent morbos.
Modes etiam multos vaticinii ordinavi,
Et primus definivi somniorum quænam oporteat
Rata evenire, et omina judicatu-difficilia
Explicui ipsis: signaque in viis obvia,
Tum alitum aduncis unguibus volatum accurate
Distinxi, et qui natura dextri,
Et qui sinistri, et qualem vitæ rationem
Quique haberent, et quæ inter se invicem
Inimicitiæ, benevolentiæque et consessus:
Viscerumque lævitatem, et quo colore
Prædita diis volupe essent;
Fellis etiam, et jecinoris variegatam speciem;
Membraque adipe cooperta, et longum
Lumbum comburendo in artem inventu difficilem
Perduxi homines; et signa flammea

Revelavi, ante caligine-obducta.
Atque talia quidem hæc : subtus vero terram
Hominibus abdita commoda,
Æs, ferrum, argentum et aurum, quis
Dixerit se invenisse ante me ?
Nemo, sat scio, ne frustra gloriari volens.
Uno autem verbo cuncta summatim accipe,
Omnes artes mortalibus a Prometheo.

CHO. Ne deinceps homines juves ultra quam convenit,
Teipsum vero infeliciter agentem negligas. Quia
Ego bonæ sum spei te ex hisce vinculis etiamnum
Solutum, nihilo minus Jove valiturum.

PRO. Non hæc ita ut sors perfica
Absolvat fatatum est, sed infinitis cladibus
Et miseriis afflictus, ita demum vincula evadam.
Ars vero longe est imbecillior necessitate.

CHO. Quis est ergo necessitatis gubernator ?

PRO. Parcæ triformes, (i. *tres*) memoresque Erinnyes.

CHO. Hisne ergo Jupiter impotentior ?

PRO. Non sane effugerit ille fatum.

CHO. Quid aliud Jovi destinatum quam semper imperare ?

PRO. Hoc tu jam non audieris, de flagita.

CHO. Num grave quid est quod ita abscondis ?

PRO. Recordamini alius sermonis, hunc minime
Tempus est efferre, sed est occultandus
Quam maxime : nam hunc retinendo, ego

Ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
Τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
Κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,
Χαλκὸν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
Φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
Οὐδεὶς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.
Βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
Πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
Χο. Μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
Σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος. ὡς ἐγὼ
Εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
Λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διός.
Πρ. Οὐ ταῦτα ταύτῃ Μοῖρά πω τελεσφόρος
Κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς,
Δύαις τε καμφθεὶς, ὧδε δεσμὰ φυγγάνω.
Τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
Χο. Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
Πρ. Μοῖραι τρίμορφοι, μνήμονές τ' Ἐριννύες.
Χο. Τούτων ἄρ' ὁ Ζεύς ἐστιν ἀσθενέστερος;
Πρ. Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
Χο. Τί γὰρ πέπρωται Ζηνὶ, πλὴν ἀεὶ κρατεῖν;
Πρ. Τοῦτ' οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει.
Χο. Ἦ που τὶ σεμνόν ἐστιν, ὃ ξυναμπέχεις;
Πρ. Ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς
Καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
Ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγὼ,

Δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

Χο. Μηδαμ᾽ ὁ πάντα νέμων στροφὴ α΄.
Θεῖτ᾽ ἐμᾷ γνώμᾳ κράτος
'Αντίπαλον Ζεύς,
Μηδ᾽ ἐλινύσαιμι θεοὺς ὁσίαις
Θοίναις ποτινισσομένα
Βουφόνοις, παρ᾽ 'Ωκεανοῖο πατρὸς
῎Ασβεστον πόρον,
Μηδ᾽ ἀλίτοιμι λόγοις·
'Αλλά μοι τόδ᾽ ἐμμένοι,
Καὶ μή ποτ᾽ ἐκτακείη·
῾Ηδύ τι θαρσαλέαις
Τὸν μακρὸν τείνειν βίον
'Ελπίσι, φαναῖς
Θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις.
Φρίσσω δέ σε δερκομένα
Μυρίοις μόχθοις διακναιόμενον.
* * * * * * *
Ζῆνα γὰρ οὐ τρομέων,
'Ιδίᾳ γνώμᾳ σέβη
Θνατοὺς ἄγαν Προμηθεῦ.
Φέρ᾽ ὅπως ἄχαρις χάρις, ὦ στροφὴ β΄.
Φίλος, εἰπὲ, ποῦ τις ἀλκά;
Τίς ἐφαμερίων ἄρηξις; οὐδ᾽ ἐδέρχθης
'Ολιγοδρανίαν ἄκικυν,
'Ισόνειρον, ᾇ τὸ φωτῶν

Effugiam vincula ignominiosa et miserias.
CHO. Neutiquam omnia-administrans [*strophe* 1.
Vim suam meæ voluntati
Opponat Jupiter,
Neque ego cessarim ad deos sacris
Victimis accedens
Boum mactatorum, apud patris Oceani
Fluxum perennem,
Neque peccem verbis :
Sed mihi hoc maneat,
Nec unquam effluat :
Profecto dulce est spe fidenti [*antist.* 1.
Longam vitam
Producere, clara
Animum ampliantem hilaritate.
Ego vero inhorresco te intuens
Infinitis laboribus dilaceratum
* * * * * *
Jovem enim non expavescens,
Proprio genio colis
Homines nimis Prometheu.
Age quam ingrata [*strophe* 2.
Gratia, o amice, dic, ubi hic robur [præsidium] ?
Quod auxilium mortalium ? non aspexisti
Impotentiam imbellem,
Somnio parem, qua improvidum hominum

Genus est impeditum?
Nunquam Jovis ordinationem
Antevertunt hominum consilia.
Hæc didici, tuam [*antistrophe* 2.
Exitialem intuens sortem Promethen:
Sed ad me advolavit, cantio discrepans
Ab illa quam circum lavacra et lectum
Tuum canebam consilio nuptiarum,
Quando eodem patre prognatam [sororem nostram]
Duxisti Hesionem, dotalibus
Persuasam, uxorem consortem tori.

10. Quæ tellus? quod genus (*hominum?*) quem
Dicam me videre istum in vinculis petrosis
Hiemantem [afflictum]? cujus delicti
Pœnis peris? ostende ubi
Terrarum ærumnosa errem.
Heu heu, ah ah.
Rursus me miseram œstrus quispiam stimulat,
Spectrum Argi terrigenæ, avertas o Terra,
Inhorresco illum multioculum [vigilantem] bubulcum intuens.
Incedit ille fraudulentum oculum habens,
Quem ne defunctum quidem occultat terra.
Sed ab inferis commeans me miseram
Exagitat, et errare facit famelicam per maritimam

'Αλαὸν * * * *
Γένος ἐμπεποδισμένον;
Οὔποτε τὰν Διὸς ἁρμονίαν
Θνατῶν παρεξίασι βουλαί.
Ἔμαθον τάδε, σὰς προσιδοῦσ' ἀντις. β'.
'Ολοὰς τύχας, Προμηθεῦ.
Τὸ διαμφίδιον δ' ἐμοὶ μέλος προσέπτα
Τόδ', ἐκεῖνό θ', ὅτ' ἀμφὶ λουτρὰ
Καὶ λέχος σὸν ὑμεναίουν
'Ιότατι γάμων,
Ὅτε τὰν ὁμοπάτριον
Ἕδνοις ἄγαγες Ἡσιόναν
Πιθὼν δάμαρτα κοινόλεκτρον.

ΠΡΟΜΗΘΕΥΣ. ΧΟΡΟΣ. ΙΩ.

ΙΩ.

ΤΙΣ γᾶ; τί γένος; τίνα φῶ λεύσσειν
Τόνδε χαλινοῖς ἐν πετρίνοισι
Χειμαζόμενον; τίνος ἀμπλακίας
Ποιναῖς ὀλέκῃ; σήμηνον ὅπη
Γᾶς ἡ μοχερὰ πεπλάνημαι.
Ἆ ἆ, ἔα ἔα.
Χρίει τις αὖ με τάλαιναν οἶστρος,
Εἴδωλον Ἄργου γηγενοῦς, ἄλευ' ὦ δᾶ,
Φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν.
'Ο δὲ πορεύεται, δόλιον ὄμμ' ἔχων,

῞Ον οὐδὲ κατθανόντα γαῖα κεύθει.
Ἀλλ᾽ ἐμὲ τὰν τάλαιναν ἐξ ἐνέρων περῶν
Κυναγετεῖ, πλανᾷ τε νῆστιν
Ἀνὰ τὰν παραλίαν ψάμμον·
Ὑπὸ δὲ κηρόπλαστος ὀττοβεῖ
Δόναξ ἀχέτας ὑπνοδόταν νόμον.
Ἰὼ ἰώ, ποῖ ποῖ, πῶ πῶ πῶ·
Ποῖ μ᾽ ἄγουσι τηλέπλαγκτοι πλάναι;
Τί ποτέ μ᾽, ὦ Κρόνιε παῖ, τί ποτε,
Ταῖσδ᾽, ἐνέζευξας εὑρὼν ἁμαρ-
τοῦσαν, ἐν πημοναῖσιν, ἓ ἕ,
Οἰστρηλάτῳ δὲ δείματι
Δειλαίαν παράκοπον ὧδε τείρεις;
Πυρί φλέξον, ἢ χθονὶ κάλυψον,
Ἢ ποντίοισι δάκεσι δὸς βορὰν,
Μηδ᾽ ἐμοὶ φθονήσῃς εὐγμάτων, ἄναξ.
Ἅδην με πολύπλαγκτοι πλάναι
Γεγυμνάκασιν, οὐδ᾽ ἔχω μαθεῖν ὅπη
Πημονὰς ἀλύξω.
Χο. Τᾶς βουκέρω πρόσφθεγμα παρθένου κλύεις;
Πρ. Πῶς δ᾽ οὐ κλύω τῆς οἰστροδινήτου κόρης
Τῆς Ἰναχείης; ἣ Διὸς θάλπει κέαρ
Ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.
Ἰώ. Πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ᾽ ἀπύεις;
Εἰπ᾽ ἐμοὶ τᾷ μογερᾷ, τίς ὤν,

Arenam: sistula vero cera-compacta sonora
Submurmurat carmen somniferum. Heu heu,
Quo quo, ubi ubi ubi; quo me longivagi errores
Impellunt? quid unquam, sili Saturni, quid unquam,
Deprehendens me delinquentem
Intricasti hisce calamitatibus? heu heu.
Ab œstro illato terrore miseram
Amentem itane vexas?
Igne combure, aut terra absconde, aut
Da (*me*) marinis monstris pabulum, ne mihi
Invideas hæc vota rex.
Satis me errores multivagi
Exercuerunt, nec scire possum qui
Ærumnas evitem.

HO. Audin' alloquutionem virginis illius cornigeræ?

RO. Quomodo non audiam illam œstro percitam
Puellam Inachida? quæ Jovis calfacit cor
Amore, et nunc longinquis cursibus
Junoni invisa, per vim exercetur.

O. Unde tu patris mei nomen pronuntias?
Dic mihi infelici, quis tu?
Quis, miser, me miseram
Adeo vere alloqueris?
Etiam divinitus-immissum morbum edixisti,
Qui me pungens tabefacit

Stimulis ad cursum incitantibus, heu heu.
Ideo famem afferentibus flagris saltuum
Cursu-concita veni,
Domita consiliis infensis. Quinam autem
Infelicium sunt, heu heu, qui perinde ac ego
Laborant? sed mihi diserte significa
Quid me adhuc manet pati,
Quid me facere oportet: quod remedium morbi sit.
Indica, si scis, edissere,
Dic misere vagabundæ virgini.

PRO. Dicam tibi plane rem omnem, quam scire expetis,
Ænigmate non involvens, sed sermone simplici,
Sicut ad amicos os aperire expedit.
Datorem ignis mortalibus cernis Prometheum.

IO. O qui in adjumentum commune hominibus
Apparuisti miser Prometheu, cujus causa hæc pateris?

PRO. Modo desii meas deflere ærumnas.

IO. Non præbueris mihi hoc officii?

PRO. Dic quod postulas; nam quidvis ex me percipies.

IO. Indica quis in prærupta illa rupe te alligavit.

PRO. Jovis quidem consilium, Vulcani vero manus.

IO. Sed qualium delictorum pœnas luis?

PRO. Tantum duntaxat tibi enarrasse satis est.

IO. Quin adhæc etiam indica quod tempus mihi

Τίς ἄρα μ', ὦ τάλας, τὰν ταλαίπωρον
῏Ωδ' ἐτήτυμα προσθροεῖς,
Θεόσσυτόν τε νόσον ὠνόμασας,
῝Α μαραίνει με χρίουσα
Κέντροισι φοιταλέοισιν, ἒ ἔ.
Σκιρτημάτων δὲ νήστισιν
Αἰκίαις λαβρόσσυτος ἦλθον,
'Επικότοισι μήδεσι δαμεῖσα.
Δυσδαιμόνων δὲ τίνες, οἵ,
῝Ε ἕ, οἷ' ἐγὼ, μογοῦσιν;
'Αλλ'. ἐμοὶ τορῶς τέκμηρον,
῞Ο τι μ' ἐπαμμένει παθεῖν,
Τί με χρὴ, τί φάρμακον νόσου.
Δεῖξον, εἴπερ οἶσθα· θρόει,
Φράζε τᾷ δυσπλάνῳ παρθένῳ.

ρ. Λέξω τορῶς σοι πᾶν, ὅ τι χρήζεις μαθεῖν,
Οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
῞Ωσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
Πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

ώ. ῏Ω κοινὸν ὠφέλημα θνητοῖσιν φανεὶς
Τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;

ρ. 'Αρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.

ώ. Οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;

ρ. Λέγ' ἥντιν' αἰτῇ· πᾶν γὰρ ἂν πύθοιό μου.

ώ. Σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε.

ρ. Βούλευμα μὲν τὸ Δῖον, 'Ηφαίστου δὲ χείρ.

Ἰώ. Ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις ;
Πρ. Τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον.
Ἰώ. Καὶ πρός γε τούτοις, τέρμα τῆς ἐμῆς πλάνης
Δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
Πρ. Τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.
Ἰώ. Μή τοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.
Πρ. Ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.
Ἰώ. Τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν ;
Πρ. Φθόνος μὲν οὐδείς· σὰς δ' ὀκνῶ θράξαι φρένας.
Ἰώ. Μή μου προκήδου μᾶσσον ἢ ὡς ἐμοὶ γλυκύ.
Πρ. Ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δή.
Χο. Μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε.
Τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
Αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
Τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.
Πρ. Σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν,
Ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
Ὡς κἀποκλαῦσαι κἀποδύρασθαι τύχας
Ἐνταυθ', ὅπη μέλλει τις οἴσεσθαι δάκρυ
Πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
Ἰώ. Οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρή·
Σαφεῖ δὲ μύθῳ πᾶν, ὅπερ προσχρῄζετε,
Πεύσεσθε. καίτοι καὶ λέγουσ' αἰσχύνομαι
Θεόσσυτον χειμῶνα, καὶ διαφθορὰν
Μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
Ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι

Finis erit vagationis miseræ.
RO. Satius est te ignorare hæc quam cognoscere.
O. Ne tu id me celes quod sum passura.
RO. Atqui haud invideo tibi hoc officii.
O. Cur ergo cunctaris quin efferas rem omnem?
RO. Invidia nulla; sed vereor animum turbare tuum.
O. Ne de me solicitus sis magis quam dulce est mihi.
RO. Quia cupis, dicendum est; ergo audias.
HO. Nondum quidem; sed et mihi partem voluptatis
Præbeas. prius hujus sciscitando cognoscamus morbum,
Ipsa exponente ærumnas exitiales:
Reliqua vero certamina ex te edoceantur.
RO. Tuum est, Io, eis hoc indulgere officii
Cum ob alia, tum quia sunt patris sorores.
Quin etiam deflere et deplorare casus (*suos*)
Ibi, ubi est quis relaturus lachrymas
Ab auditoribus, habet operæ pretium.
O. Non scio quomodo debeam vobis refragari:
Sed sermone perspicuo totum quod cupitis
Cognoscetis: tametsi erubescam etiam enarrans
Unde divinitus-immissa tempestas, et corruptio
Formæ mihi calamitosæ accidit.
Nam semper nocturnæ visiones ventitantes
In thalamos meos, demulcebant me
Lenibus verbis; O perbeata puella,

Cur diu permanes virgo, cum liceat tibi conjugium
Nancisci præstantissimum? Jupiter enim jaculo
Desiderii a te (misso) incaluit, et Venerem communicare
Cupit: tu autem, O puera, ne apolactises (*recalcitres*)
Cubile Jovi, sed exeas ad Lernæ profundum
Pratum, et pascua et bovilia patris,
Ut Jovis oculus deponat desiderium.
Talibus somniis totas noctes
Misera occupabar, donec patri
Auderem narrare somnia noctu ventitantia.
Ille autem ad Pytho et in Dodonam crebros
Oraculorum-consultores mittebat, ut cognosceret
Quid agendo aut loquendo gratificaretur diis.
Illi reversi nuntiarunt ambigua
Oracula obscure et intricate prolata.
Tandem apertum vaticinium venit Inacho
Diserte inculcans et jubens
Extra domum et patriam me pellere,
Ut derelicta errem in extremis terræ finibus:
Quod si nolit, a Jove venire flammeum
Fulmen, quod totam familiam delebit.
Talibus persuasus Apollinis vaticiniis,
Expulit et exclusit me domo
Invitam invitus: sed coegit eum
Jovis frenum [imperium] per vim hæc facere.

Ἐς παρθενῶνας τοὺς ἐμοὺς, παρηγόρουν
Λείοισι μύθοις· ὦ μέγ' εὐδαίμων κόρη,
Τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου
Τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
Πρὸς σοῦ τέθαλπται, καὶ ξυναίρεσθαι Κύπριν
Θέλει· σὺ δ', ὦ παῖ, μὴ 'πολακτίσῃς λέχος
Τὸ Ζηνὸς, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
Λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς,
Ὡς ἂν τὸ δῖον ὄμμα λωφήσῃ πόθου.
Τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
Ξυνειχόμην δύστηνος, ἔς τε δὴ πατρὶ
Ἔτλην γεγωνεῖν νυκτίφοιτ' ὀνείρατα.
Ὁ δ' ἔς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνοὺς
Θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
Δρῶντ' ἢ λέγοντα, δαίμοσι πράσσειν φίλα.
Ἧκον δ' ἀναγγέλλοντες αἰολοστόμους
Χρησμοὺς, ἀσήμως δυσκρίτως τ' εἰρημένους.
Τέλος δ' ἐναργὴς ἦλθε βάξις Ἰνάχῳ
Σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη,
Ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ,
Ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις·
Κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
Κεραυνὸν, ὃς πᾶν ἐξαϊστώσει γένος.
Τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν,
Ἐξήλασέν με κἀπέκλεισε δωμάτων
Ἄκουσαν ἄκων· ἀλλ' ἐπηνάγκαζέ νιν

Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
Εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
Ἦσαν, κεράστις δ', ὡς ὁρᾶτ', ὀξυστόμῳ
Μύωπι χρισθεῖσ', ἐμμανεῖ σκιρτήματι
Ἦσσον πρὸς εὔποτόν τε Κεγχρείας ῥέος,
Λέρνης ἄκραν τε· βουκόλος δὲ γηγενὴς
Ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
Ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
Ἀπροσδόκητος δ' αὐτὸν αἰφνίδιος μόρος
Τοῦ ζῆν ἀπεστέρησεν. οἰστρόπληξ δ' ἐγὼ
Μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
Κλύεις τὰ πραχθέντ', εἰ δ' ἔχεις εἰπεῖν ὅ τι
Λοιπὸν πόνων, σήμαινε· μηδέ μ' οἰκτίσας
Ξύνθαλπε μύθοις ψεύδεσιν· νόσημα γὰρ
Αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

Χο. Ἔα, ἔα. ἔπεχε, φεῦ.
Οὔποτ' οὔποτ' ηὐχόμην
Ξένους μολεῖσθαι λόγους
Ἐς ἀκοὰν ἐμὰν,
Οὐδ' ὧδε δυσθέατα καὶ δύσοιστα
Πήματα, λύματα, δείματα
Ἀμφήκει κέντρῳ
Ψύχειν ψυχὰν ἐμάν·
Ἰὼ ἰὼ, μοῖρα, μοῖρα,
Πέφρικ', εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.

Πρ. Πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ.

Statim vero forma et animus perversi
Fiebant, et cornuta, ut videtis, acuto
Stimulata œstro, saltu lymphatico
Ferebar ad potu-salubrem fluxum Cenchreæ,
Fastigiumque Lernæ: bubulcus vero terrigena
Intemperans ira Argus insequebatur, multis
Oculis observans gressus meos.
Inopinatum autem eum et repentinum fatum
Vita privavit. Ego vero œstro percita
Flagro divino de terra in terram agitor.
Audis quæ acta sunt, si autem habeas dicere quid
De malis reliquum sit, indices: nec me
Misertus demulceas verbis fallacibus: nam luem
Turpissimam judico sermones commentitios.

CHO. Mitte, mitte. desiste, heu.
Nunquam nunquam optarim tam insolitam orationem
Pervenire ad aures meas, neque ita tristia visu
Et intolerabilia damnat; piacula, terricula ancipiti
Stimulo refrigerare animum meum:
Heu heu, fatum, fatum,
Inhorrui cum aspexerim fortunam Ius.

PRO. Ante ingemiscis, et terrore plena es.
Cohibe *(te)*, donec reliqua etiam addiscas.

CHO. Dicas, edoceas: nam ægrotantibus dulce est
Clare in antecessum nosse mali residuum.

PRO. Priorem petitionem obtinuistis a me
Facile: primum enim hanc audire voluistis
Ad se pertinentes ærumnas declarantem.
Reliqua nunc accipite, qualia oportet mala
A Junone hanc juvenculam pati.
Tu vero Inachi semen verba mea
Animo conde, ut exitus ediscas itineris.
Primum quidem hinc ad exortum solis
Conversa, transi inarata arva:
Accedes vero ad Scythas Nomadas, qui casas vitiles
Incolunt sublimes super rotundis curribus,
Arcubus longe-jaculantibus instructi:
Quibus ne propinques: sed pedes ad fluctisonas
Crepidines littoris petrosas declinans terram pertranseas.
Ad sinistram autem manum fabri ferrarii
Chalybes habitant, a quibus oportet te cavere.
Sunt enim immites, et inaccessi peregrinis.
Pervenies etiam ad fluvium Hybristem haud falso
Nomine, quem ne transeas, quia non est facilis
Vadatu, priusquam ad ipsum venias Caucasum,
Montium altissimum, ubi fluvius effundit vim
Ex jugis editioribus: sed oportet astris-vicina
Transcendentem cacumina ad meridianam
Viam tendere, ubi ad Amazonum aciem

Ἐπίσχες, ἐς τ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
Χο. Λέγ', ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ,
Τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς.
Πρ. Τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα
Κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε
Τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης.
Τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
Τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
Σὺ δ' Ἰνάχειον σπέρμα τοὺς ἐμοὺς λόγους
Θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ.
Πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολὰς
Στρέψασα σαυτὴν, στεῖχ' ἀνηρότους γύας·
Σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
Πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
Ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι·
Οἷς μὴ πελάζειν· ἀλλ' ἁλιστόνοις πόδας
Χρίμπτουσα ῥαχίαισιν ἐκπερᾷν χθόνα.
Λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
Οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή.
Ἀνήμεροι γὰρ, οὐδὲ πρόσπλαστοι ξένοις.
Ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
Ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾷν,
Πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
Ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
Κροτάφων ἀπ' αὐτῶν· ἀστρογείτονας δὲ χρὴ
Κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν

Βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
Ἴξῃ στυγάνορ', αἳ Θεμίσκυράν ποτε
Κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
Τραχεῖα πόντου Σαλμυδησία γνάθος
Ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν·
Αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
Ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σὲ χρὴ
Λιποῦσαν αὐλῶν' ἐκπερᾷν Μαιωτικόν.
Ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
Τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
Κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον,
Ἤπειρον ἥξεις Ἀσιάδ'· ἆρ' ὑμῖν δοκεῖ
Ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
Βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
Χρῄζων μιγῆναι τάσδ' ἐπέῤῥιψε πλάνας.
Πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
Μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους
Εἶναι δόκει σοὶ μηδέπω 'ν προοιμίοις.
Ἰώ. Ἰώ μοί μοι. ἒ ἔ.
Πρ. Σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ. τί που
Δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
Χο. Ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
Πρ. Δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
Ἰώ. Τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
Ἔῤῥιψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,

Viros odio prosequentem appuleris, quæ aliquando
Themiscyram circa Thermodontem incolent, ubi
Est asper ponti Salmydessius sinus
Nautis inhospitalis, noverca navium :
Istæ te deducent et valde lubenter.
In ipsis autem angustis portis paludis Isthmum
Cimmericum attinges, quem oportet te audacter
Deserentem trajicere angustias Mæoticas.
Erit vero hominibus fama in æternum ingens
Tui transitus, nam Bosphorus cognomine
Indigitabitur. Solum autem Europæ relinquens,
Pervenies in continentem Asiaticam ; nunquid
Vobis videtur deorum gubernator in omnibus æque
Violentus esse ? huic enim mortali Deus
Commisceri volens hos injecit errores.
Acerbum comparasti, o puella, conjugii tui
Procum. quas enim jam audisti narrationes puta
Tibi esse ne procemia quidem eorum quæ dicenda sunt.
IO. Hei mihi mihi, eheu eheu.
PRO. Tu vicissim exclamas et singultis. quid
Facies ubi reliqua auscultes mala ?
CHO. Num aliquid reliquum mali illi dices ?
PRO. Imo tempestuosum mare noxiæ calamitatis.
IO. Quid ergo lucri mihi vivere, quin potius illico
De hac aspera petra memet projecerim,
Ut in terram decidens ab omnibus malis

Liberarer? Nam satius est semel mori,
Quam diebus (*vitæ*) omnibus mala perpeti.
PRO. Næ ægre ferres meas afflictiones,
Cui non est fato-concessum mori:
Hoc enim fuerit malorum liberatio.
Nunc vero nullus est finis mihi propositus
Laborum, antequam Jupiter regno excidat.
IO. Nunquid aliquando erit ut Jupiter e regno excidat?
PRO. Gauderes, puto, istam conspicata cladem.
IO. Quippe ni, cum a Jove malis afficiar?
PRO. Hæc igitur ita esse cognoscere potes.
IO. A quo spoliabitur sceptro regio?
PRO. Ipse a suis judicii-inanibus consiliis.
IO. Quomodo? indica, nisi quid inest incommodi.
PRO. Tale junget conjugium, cujus olim pœnitebit.
IO. Divinumne, an humanum? dicas, si fas dicere.
PRO. Quid quale illud sit? (quæris) non enim licet efferre.
IO. Nunquid per uxorem throno deturbabitur?
PRO. Quæ scilicet pariet filium patre præstantiorem.
IO. An illi nulla est hujus calamitatis aversio?
PRO. Non sane, priusquam ego ex vinculis solutus fuero.
IO. Quis ergo est te soluturus invito Jove?
PRO. Oportet esse quendam ex posteris tuis.
IO. Quid ais? meusne filius te liberabit a malis?
PRO. Tertius genere a decem aliis generationibus.

Ὅπως πέδῳ σκήψασα, τῶν πάντων πόνων
Ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν,
Ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
Πρ. Ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
Ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
Αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή.
Νῦν δ᾽ οὐδέν ἐστι τέρμα μοι προκείμενον
Μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
Ἰώ. Ἦ γάρ ποτ᾽ ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία;
Πρ. Ἥδοι᾽ ἄν, οἶμαι, τήνδ᾽ ἰδοῦσα συμφοράν.
Ἰώ. Πῶς δ᾽ οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
Πρ. Ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα.
Ἰώ. Πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
Πρ. Αὐτὸς πρὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
Ἰώ. Ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.
Πρ. Γαμεῖ γάμον τοιοῦτον, ᾧ ποτ᾽ ἀσχαλᾷ.
Ἰώ. Θέορτον, ἢ βρότειον; εἰ ῥητὸν, φράσον.
Πρ. Τί δ᾽ ὅντιν᾽; οὐ γὰρ θεμιτὸν αὐδᾶσθαι τάδε.
Ἰώ. Ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
Πρ. Ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.
Ἰώ. Οὐδ᾽ ἔστιν αὐτῷ τῆσδ᾽ ἀποστροφὴ τύχης;
Πρ. Οὐ δῆτα, πρὶν ἔγωγ᾽ ἂν ἐκ δεσμῶν λυθῶ.
Ἰώ. Τίς οὖν ὁ λύσων σ᾽ ἐστὶν ἄκοντος Διός;
Πρ. Τῶν σῶν τιν᾽ αὐτὸν ἐκγόνων εἶναι χρεών.
Ἰώ. Πῶς εἶπας; ἦ ᾽μὸς παῖς σ᾽ ἀπαλλάξει κακῶν;
Πρ. Τρίτος γε γένναν πρὸς δέκ᾽ ἄλλαισιν γοναῖς.

Ἰώ. Ἥδ' οὐκ ἔτ' εὐξύμβλητος ἡ χρησμῳδία.
Πρ. Καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.
Ἰώ. Μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει.
Πρ. Δυεῖν λόγοιν σε θατέρῳ δωρήσομαι.
Ἰώ. Ποίοιν; πρόδειξον, αἵρεσίν τ' ἐμοὶ δίδου.
Πρ. Δίδωμ'· ἑλοῦ γὰρ ἢ πόνων τὰ λοιπά σοι
Φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.
Χο. Τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
Θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγους·
Καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
Ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.
Πρ. Ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
Τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
Σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
Ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
Ὅταν περάσῃς ῥεῖθρον, ἠπείρων ὅρον,
Πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς

. . . .

Πόντου περῶσα φλοῖσβον, ἔς τ' ἂν ἐξίκῃ
Πρὸς γοργόνεια πεδία Κισθήνης, ἵνα
Αἱ Φορκίδος ναίουσι δηναιαὶ κόραι
Τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
Μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
Ἀκτῖσιν, οὔθ' ἡ νύκτερος μήνη ποτέ.
Πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
Δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,

IO. Hæc vaticinatio non adhuc est per conjecturas facilis intellectu.

PRO. Quin neque tuas anquiras ærumnas.

IO. Ne me porrecto beneficio continuo prives.

PRO. Duarum narrationum alterutra te donabo.

IO. Quarum ? indica et da mihi delectum.

PRO. Contribuo : elige aut reliquos labores tibi
Aperte indicabo, aut eum qui me soluturus est.

CHO. Harum quidem istam illi, hanc autem mihi
Gratiam concedas, neque asperneris petitionem :
Isti quidem narres reliquam errationem,
Mihi vero liberatorem : hoc enim cupio.

PRO. Quandoquidem cupitis, non refragabor
Quin exponam omne quicquid est quod vultis.
Tibi Io primum edisseram vagum errorem,
Quem tu inscribas memori mentis tabula.
Quando transieris fluvium, continentium terminum,
Ad ortum lucidum a sole tritum
Maris trajiciens fremitum, donec pervenias
Ad campos Gorgonios Cisthinæ, ubi
Phorcides vetulæ puellæ habitant
Tres cygniformes, oculum communem possidentes
Et dentem unum, quas neque unquam sol aspicit
Radiis, neque nocturna luna unquam.
Prope utem harum sorores tres aligeræ
Anguicomæ viris invisæ Gorgones,

Quas homo nullus conspicatus retinebit spiritum.
Talem tibi hujus indico præcautionem:
Aliud vero audias ingratum spectaculum.
Voraces enim non latrantes Jovis canes
Gryphes caveto, et monoculum exercitum
Arimasporum equestrem, qui aurifluum
Habitant juxta fluentum Plutonis alvei:
Hos tu ne adpetas. Sed in longinquam terram
Ad populum nigrum pervenies, qui ad solis
Degunt fontes, ubi fluvius Æthiops.
Hujus incedas juxta ripas, donec pervenias
Ad Catabasmum, ubi de montibus byblinis
Nilus effundit fluxum venerandum potu jucundum.
Hic te ducet in terram triquetram
Nilotida, ubi longam coloniam
Condere tibi Jo et filiis (tuis) est fato concessum.
Horum si quid est tibi obscurum et inventu difficile,
Repetas et planius ediscas:
Quippe mihi plus adest otii quam velim.
CHO. Si quid huic reliquum aut omissum
Narrare potes de vagatione valde perniciosa,
Narra; sin autem omnia exposuisti, nobis vicissim
Officium præsta quod petimus, recordare quæso.
PRO. Hæc terminum audivit totius vagationis suæ.
Sed ut sciat se non frustra audire me, [nam,
Quæ prius labore effecta reddidit quam huc venit, expo-

Ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς.
Τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω·
Ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν.
Ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
Γρύπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
Οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
Τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
Ἥξεις, κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
Ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
Τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκη
Καταβασμὸν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
Ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
Οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν
Ἰοῖ πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
Τῶνδ' εἴ τι σοὶ ψελλόν τε καὶ δυσεύρετον,
Ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε·
Σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
Χο. Εἰ μέν τι τῆδε λοιπὸν ἢ παρειμένον
Ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
Λέγ'· εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
Δὸς, ἥντιν' αἰτούμεσθα· μέμνησαι δέ που.
Πρ. Τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν.
Ὅπως δ' ἂν εἰδῆ μὴ μάτην κλύουσά μου,
Ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκε, φράσω,
Τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
Ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,

Πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
Ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα,
Τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα
Μαντεῖα θᾶκός τ' ἐστὶ Θεσπρωτοῦ Διὸς,
Τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες,
Ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
Προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
Μέλλουσ' ἔσεσθ', εἰ τῶνδε προσσαίνει σέ τι·
Ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
Κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας,
Ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις·
Χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχὸς,
Σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται,
Τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσι βροτοῖς.
Σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς,
Ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
Τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
Ἐς ταυτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
Ἔστιν πόλις Κάνωβος, ἐσχάτη χθονὸς,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
Ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα,
Ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.
Ἐπώνυμον δὲ τῶν Διὸς θιγημάτων
Τέξεις κελαινὸν Ἔπαφον· ὃς καρπώσεται
Ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα·
Πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντόπαις
Πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται
Θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
Ἀνεψιῶν· οἱ δ' ἐπτοημένον φρένας,

Hoc ei exhibens certum signum (*veritatis*) orationis meæ.
Omittam igitur verborum turbam plurimam,
Et pergam ad ipsum errorum terminum.
Postquam pervenisti in regionem Molossam,
Et ad eminentem Dodonam, ubi
Et oraculum et sedes Jovis Thesproti,
Miraculumque incredibile, quercus adloquaces,
A quibus tu clare et non ænigmatice
Salutata es inclyta Jovis futura
Conjux, si modo quid horum adblanditur tibi:
Inde œstro concita secundum littoralem
Viam pervenisti ad magnum Rheæ sinum,
Unde retrovagis cursibus vexaris:
In posterum autem secessus (ille) maritimus,
Pro certo hoc scias, vocabitur Ionius,
Monimentum tui itineris omnibus hominibus.
Hæc tibi sunt signa, quod mens mea
Cernat plus quam quod apparet.
Reliqua deinceps in communi vobis et isti dicam,
Reversus ad idem vestigium priorum sermonum.
Urbs est Canobus terræ extrema,
Ad ipsum Nili ostium et aggerem sita:
Ibi quidem Jupiter te efficiet mentis compotem,
Placida tantum attrectans et tangens manu.
Cognominem vero ab attrectatione Jovis
Pariei nigrum Epaphum: qui fructu (*tanta*)

Quantam latifluus Nilus irrigat terra :
Ab illo generatio quinta liberorum quinquaginta
Redibit Argos non lubens
Fœminina, fugiens cognatas nuptias
Patruelium : illi autem animis insanientes,
Ut circi non procul distantes a columbis,
Venient venantes nuptias quas venari non debebant,
Ast invidebit eis deus corpora :
Pelasga vero (terra) excipiet fœminea
Cæde domita, audacia, noctis opportunitatem observante.
Mulier enim quæque suum virum vita privabit,
Anceps gladium cæde tingens.
Talis eveniat hostibus meis Venus.
Unam tamen puellarum amor demulcebit, ut non
Maritum occidat, sed languescet.
A proposito ; et ex duabus existimationibus alteram eliget,
Cluere potius ignava, quam cæde polluta.
Hæc in Argo regium pariet genus.
Ad hæc clare enarranda opus fuerit longa oratione :
Ex hac quidem stirpe nascetur fortis (ille, et)
Celebris-arcubus, qui me ex hisce laboribus
Liberabit. Hujusmodi oraculum mihi grandæva
Mater illa Themis Titania enarravit : quomodo
Autem et quando, hæc longo tempore indiguerint
Ad narrandum, et tu iis cognitis nihil juvabere.
10. Heu, heu, heu, heu, heu,

Κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
Ἥξουσι θηρεύσοντες οὐ θηρασίμους
Γάμους, φθόνον δὲ σώμαθ' ὧν ἕξει θεός·
Πελασγία δεδέξεται θηλυκτόνῳ
Ἄρει δαμέντων, νυκτιφρουρήτῳ θράσει.
Γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στέρει,
Δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος.
Τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
Μίαν δὲ παίδων ἵμερος θέλξει, τὸ μὴ
Κτεῖναι ξύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται·
Γνώμαιν δυεῖν δὲ θάτερον βουλήσεται,
Κλύειν ἄναλκις μᾶλλον, ἢ μιαιφόνος.
Αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
Μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς·
Σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς,
Τόξοισι κλεινὸς, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
Λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
Μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
Ὅπως δὲ χὤπῃ, ταῦτα δεῖ μακροῦ χρόνου
Εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.

Ἰώ. Ἐλελελελεῦ,
Ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς
Μανίαι θάλπουσ', οἴστρου δ' ἄρδις
Χρίει μ' ἄπυρος,
Κραδία δὲ φόβῳ φρένα λακτίζει·
Τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,

Ἔξω δὲ δρόμου φέρομαι, λύσσης
Πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
Θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ
Στυγνῆς πρὸς κύμασιν ἄτης.

ΧΟΡΟΣ.

Ἦ σοφὸς, ἦ σοφὸς ἦν, στροφή.
Ὃς πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε
Καὶ γλώσσᾳ διεμυθολόγησεν,
Ὡς τὸ κηδεῦσαι καθ' ἑαυ-
τὸν ἀριστεύει μακρῷ·
Καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων,
Μήτε τῶν γέννᾳ μεγαλυνομένων
Ὄντα χερνήταν ἐραστεῦσαι [γάμων].
Μήποτε μήποτέ μ' ὦ ἀντιστ.
Μοῖραι . . . . λεχέων Διὸς
Εὐνάτειραν ἴδοισθε πέλουσαν·
Μηδὲ πλασθείην γαμέτᾳ
Τινὶ τῶν ἐξ Οὐρανοῦ.
Ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
Εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν
Δυσπλάνοις Ἥρας ἀλατείαις [πόνων].
Ἐμοὶ δ' ὅτι μὲν ὁμαλὸς ὁ γάμος ἄφοβος, ἐπῳδ.
Οὐ δέδια μηδὲ κρεισσόνων θεῶν
Ἄφυκτον ὄμμα προσδέρκοιτό με.
Ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα

Me rursus mentis inflammatio et animum percutientes
Furores urunt, œstri quidem acies
Ardentissima me stimulat,
Cor vero præ metu præcordia verberat:
Oculi aurem volutim rotantur
Ex extra orbitam feror, rabiei
Impetu insano, linguæ impotens:
Voces vero turbidæ temere allidunt
Ad fluctus noxæ exosæ.

CHO. Revera sapiens, sapiens revera fuit, [*strophe*.
Qui primus hanc sententiam in animo
Concepit et verbis elocutus est,
Quod parem conjugem sibi jungere longe
Optimum sit; nec cum, qui loco tenui natus sit,
Aut divitiis affluentes,
Aut genere superbientes amare deceat (affinitates]
Nunquam nunquam me o [*antistrophe*.
Fata * * * *
Conspiciatis factam Jovis lecti sociam:
Neque marito copuler cuipiam e cœlicolis
Nam exhorreo proci non amantem virginitatem
Ius. videns ob conjugium laceratam
Immitibus Junonis erroribus [laborum].
Mihi vero quia æquale conjugium
Metus expers, non vereor neque potentiorum
Deorum amor oculus inevitabilis aspiciat me.

Hoc enim bellum inexpugnabile, difficultatibus
Abundans, nec scio qualis forem. Nam
Haud novi quomodo Jovis effugerim consilium.

PRO. Profecto Jupiter, licet adhuc mente pervicaci,
Flet humilis, quales instituit
Nuptias nubere: quæ ipsum ex regno
Et soliis evanidum ejicient; et imprecatio patris
Saturni tum jam omnino perficietur;
Quam imprecabatur antiquis soliis excidens.
Horum laborum aversionem nullus deorum
Præter me poterit ei plane indicare.
Ego hæc novi, et quomodo, [perficientur:] proinde
Jam confidenter sedeat æriis ictibus
Fretus, et vibrans manibus ignem-sperans jaculum:
Nam hæc ei nihil sufficient, quo minus
Inhoneste ruina cadat intolerabili:
Talem adversarium nunc præparat
Ipse adversus se, monstrum inexpugnabile;
Qui potentiorem fulmine inveniet flammam,
Fragoremque validum superantem tonitru;
Et qui marinum, terram concutiens malum,
Tridentem, illam Neptuni hastam dissipabit:
Illisus autem huic malo discet
Quantum imperare et parere distant.

CHO. Tu jamdudum quæ cupis, illa Jovi male ominaris.

PRO. Quæ sient, præterea autem quæ vellem loquor.

Πόριμος· οὐδ' ἔχω τίς ἂν γενοίμαν.
Τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ' ἄν.

Πρ. Ἦ μὴν ἔτι Ζεὺς, καίπερ αὐθάδης φρενῶν,
Ἔσται ταπεινὸς, οἷον ἐξαρτύεται
Γάμον γαμεῖν· ὅς αὐτὸν ἐκ τυραννίδος
Θρόνων τ' ἄϊστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται·
Ἣν ἐκπιτνῶν ἠρᾶτο δηναιῶν θρόνων.
Τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
Δύναιτ' ἂν αὐτῷ, πλὴν ἐμοῦ, δεῖξαι σαφῶς.
Ἐγὼ τάδ' οἶδα, χᾧ τρόπῳ. πρὸς ταῦτα νῦν
Θαρσῶν καθήσθω, τοῖς πεδαρσίοις κτύποις
Πιστὸς, τινάσσων τ' ἐν χεροῖν πυρπνοῦν βέλος.
Οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει, τὸ μὴ οὐ
Πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά.
Τοῖον παλαιστὴν νῦν παρασκευάζεται
Ἐπ' αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας·
Ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα,
Βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
Θαλασσίαν τε, γῆς τινάκτειραν νόσον,
Τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ.
Πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
Ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

Χο. Σὺ θὴν ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.

Πρ. Ἅπερ τελεῖται, πρὸς δ', ἃ βούλομαι, λέγω.

Χο. Καὶ προσδοκᾷν χρὴ δεσπόσειν Ζηνός τινα;

Πρ. Καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.
Χο. Πῶς οὐχὶ ταρβεῖς, τοιάδ' ἐκρίπτων ἔπη;
Πρ. Τί δ' ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον;
Χο. Ἀλλ' ἆθλον ἂν σοι τοῦδέ γ' ἀλγίω πόροι.
Πρ. Ὅδ' οὖν ποιείτω, πάντα προσδοκητά μοι.
Χο. Οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν, σοφοί.
Πρ. Σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
Ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
Δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
Ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
Τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
Πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.

ΠΡΟΜΗΘΕΥΣ. ΧΟΡΟΣ. ΕΡΜΗΣ.

ΕΡΜΗΣ.

ΣΕ, τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
Τὸν ἐξαμαρτόντ' εἰς θεούς, τὸν ἐφημέροις
Πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
Πατὴρ σ' ἄνωγεν οὕστινας κομπεῖς γάμους
Αὐδᾷν, πρὸς ὧν τ' ἐκεῖνος ἐκπίπτει κράτους·
Καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
Ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδ' ἐμοὶ διπλᾶς
Ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
Πρ. Σεμνόστομός γε καὶ φρονήματος πλέως

CHO. Expectandum igitur Jovi aliquem dominaturum ?
PRO. Etiam et his labores importabiliores sustinebit.
CHO. Quomodo non metuis, talia projiciens verba ?
PRO. Quid (ego) metuam, cui non est fatale mori ?
CHO. At tibi ærumnam ista graviorem inferre potest.
PRO. Faciat ille, [quicquid voluerit] omnia mihi expectanda.
CHO. Qui colunt vindictæ deam, sapiunt.
PRO. Cole, invoca, adulare istum æternum gubernatorem.
Mihi autem Jupiter minus nihilo est curæ.
Agat, imperet hoc brevi tempore
Ut vult; non enim diu imperabit diis.
Sed enim conspicio illum Jovis cursorem,
Illum novitii regis ministrum:
Omnino nuntiatum quid novi venit.
MER. Te, illum veteratorem, illum acerbe peracerbum,
Qui deliquisti adversus deos, hominibus
Præbens dona, illum ignis furem dico:
Pater te jussit quas jactitas nuptias
Edisserere, et a quibus ille excidat imperio;
Et hæc quidem nullatenus obscure,
Sed singula eloquere plane; neque mihi duplices
Prometheu imponas vias; cernis enim quod
Jupiter talibus non emollitur.
PRO. Grandisona et confidentiæ plena
Est hæc oratio, qualis deorum ministrum decet.
Nuperum imperium novitii obtinetis, quinetiam

Putatis vos incolere arces nulli dolori pervias :
Non ex his ego reges duos excidisse vidi ?
Et hunc jam regnantem tertium aspiciam
Turpissime et citissime. nunquid tibi videor
Metuere et formidare novos deos ?
Immo multum et omnino absum (a metu). proinde
Tu qua venisti via, eam repetas festinanter.
Nam nihil eorum quæ ex me sciscíteris cognosces.

MER. At tali etiam prius pervicacia
Temet conjecisti in has infelicitates.

PRO. Tuis servitiis meam hanc miseriam,
Pro certo habe, non ego permutarim.
Satius enim duco huic mancipari petræ,
Quam Jovi patri (*tuo*) esse fidum nuntium.
Ita cum procacibus procaciter agendum.

MER. Videris delectari præsentibus malis.

PRO. Delector ? sic delectantes meos
Videam hostes : et te inter eos dico.

MER. Nunquid et me ob has calamitates incusas ?

PRO. Uno verbo omnes odi deos,
Quicunque beneficiis effecti, me injuria affligunt.

MER. Percipio te insanire morbum non exiguum.

PRO. Laborem sane morbo, si morbus odisse hostes.

MER. Non tolerandus esses, si feliciter ageres.

PRO. Hei mihi. MER. Hoc verbum Jupiter ignorat.

PRO. Ast tempus senescens omnia edocet.

Ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
Νέον νέοι κρατεῖτε, καὶ δοκεῖτε δὴ
Ναίειν ἀπενθῆ πέργαμ'· οὐκ ἐκ τῶνδ' ἐγὼ
Δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
Τρίτον δὲ τὸν νῦν κοιρανοῦντ' ἐπόψομαι
Αἴσχιστα καὶ τάχιστα. μή τι σοὶ δοκῶ
Ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
Πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
Κέλευθον, ἥνπερ ἦλθες, ἐγκόνει πάλιν.
Πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.
Ἑρ. Τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
Ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
Πρ. Τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
Σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
Κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ,
Ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
Οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
Ἑρ. Χλιδᾷν ἔοικας τοῖς παροῦσι πράγμασι.
Πρ. Χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
Ἐχθροὺς ἴδοιμι· καί σε δ' ἐν τούτοις λέγω.
Ἑρ. Ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
Πρ. Ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς,
Ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.
Ἑρ. Κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.
Πρ. Νοσοῖμ' ἂν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
Ἑρ. Εἴης φορητὸς οὐκ ἂν, εἰ πράσσοις καλῶς.

Πρ. Ὤμοι.
Ἑρ. Τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
Πρ. Ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
Ἑρ. Καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.
Πρ. Σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.
Ἑρ. Ἐρεῖν ἔοικας οὐδὲν ὧν χρήζει πατήρ.
Πρ. Καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.
Ἑρ. Ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντ' ἐμέ.
Πρ. Οὐ γὰρ σὺ παῖς τε, κἄτι τοῦδ' ἀνούστερος,
Εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
Οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ', ὅτῳ
Προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
Πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
Πρὸς ταῦτα, ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλὸξ,
Λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
Χθονίοις κυκάτω πάντα, καὶ ταρασσέτω·
Γνάμψει γὰρ οὐδὲν τῶνδ' ἔμ', ὥστε καὶ φράσαι
Πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
Ἑρ. Ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται
Πρ. Ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
Ἑρ. Τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
Πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
Πρ. Ὀχλεῖς μάτην με, κῦμ' ὅπως, παρηγορῶν.
Εἰσελθέτω σὲ μήποθ', ὡς ἐγὼ Διὸς
Γνώμην φοβηθεὶς, θηλύνους γενήσομαι,
Καὶ λιπαρήσω τὸν μέγα στυγούμενον

MER. Atqui tu nondum didicisti sanus esse.
PRO. Te enim ministrum non alloquutus fuissem.
MER. Nihil videris dicere eorum quæ vult pater.
PRO. Siquidem deberem ei persolverem gratias.
MER. Nimirum conviciaris me perinde ac si essem puer.
PRO. Annon tu es puer, atque eo etiam insipientior,
Si speras te aliquid ex me auditurum?
Non est cruciatus neque machinatio, qua
Jupiter me inducet hæc enunciare,
Priusquam laxata fuerint vincula corpus affligentia.
Proinde jaciatur ardens flamma,
Nive alas habente albas terrestique
Tonitru misceat, et confundat omnia:
Nihil enim horum me flectet, ut dicam
Per quem oporteat eum excidere regno.
MER. Vide quæso num hæc tibi profutura videantur.
PRO. Hæc sunt dudum visa et deliberata.
MER. Aude, o vanissime, aude aliquando
In præsentibus ærumnis recte sapere.
PRO. Frustra me, fluctus instar, monendo sollicitas.
Nunquam tibi in mentem veniat me Jovis
Sententiam exhorrentem, effœminatum fore,
Et isti valde inviso supplicaturum
Muliebribus manuum supinationibus,
Ut me solvat ab hisce vinculis: ab hoc omnino absum.

MER. Videor colloquendo multa et frustra dicere.
Nihil enim mitigaris et emolliris precibus
Meis: sed frænum mandens tanquam nuper jugatus
Pullus, violentus sis et habenis repugnas.
Sed ferocis invalido consilio callido.
Nam pervicacia non-recte-sapienti,
Ipsa per se minimo minus valet.
Considera vero si non parueris monitis meis,
Qualis tempestas et ingens malorum fluctus
In te irruet inevitabilis: primum edim asperum
Hunc rupis recessum tonitru et fulminis flamma
Pater diffringet, et abscondet corpus tuum,
Petrosus autem sinus te excipiet.
Et longo temporis defunctus spatio,
Denuo prodibis in lucem; sed Jovis
Volucer canis Aquila cædis avida rapax
Corporis fragmentum magnum dilacerabit,
Conviva quotidianus non vocatus adventans:
Atrum et adesum jecur epulabitur.
Neque hujus ærumnæ finem aliquem expectes,
Priusquam deorum aliquis successor tuorum laborum
Appareat, et velit descendere ad obscurum
Orcum, et ad tenebrosa profunda Tartari.
De his delibera; quia hic non est fictitia
Verborum ostentatio, sed serio enuntiata.

Γυναικομίμοις ὑπτιάσμασιν χερῶν,
Λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
Ἑρ. Λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν.
Τέγγῃ γὰρ οὐδὲν, οὐδὲ μαλθάσσῃ λιταῖς
Ἐμαῖς· δακὼν δὲ στόμιον, ὡς νεοζυγὴς
Πῶλος, βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ.
Ἀτὰρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι.
Αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
Αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.
Σκέψαι δ' ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
Οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
Ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
Φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
Πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
Τὸ σὸν, πετραία δ' ἀγκάλη σε βαστάσει.
Μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
Ἄψορρον ἥξεις ἐς φάος· Διός δέ τοι
Πτηνὸς κύων δαφοινὸς ἀετὸς λάβρος
Διαρταμήσει σώματος μέγα ῥάκος,
Ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος·
Κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται.
Τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
Πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
Φανῇ, θελήσει τ' εἰς ἀναύγητον μολεῖν
Ἅδην, κνεφαῖά τ' ἀμφὶ ταρτάρου βάθη.
Πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος

Ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος.
Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
Τὸ δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
Πάπταινε καὶ φρόντιζε, μηδ᾽ αὐθαδίαν
Εὐβουλίας ἀμείνον᾽ ἡγήσῃ ποτέ.
Χο. Ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
Λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
Μεθέντ᾽, ἐρευνᾷν τὴν σοφὴν εὐβουλίαν.
Πείθου· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.
Πρ. Εἰδότι τοι μοὶ τάσδ᾽ ἀγγελίας
Ὅδ᾽ ἐθώϋξεν, πάσχειν δὲ κακῶς
Ἐχθρὸν ὑπ᾽ ἐχθρῶν, οὐδὲν ἀεικές.
Πρὸς ταῦτ᾽, ἐπ᾽ ἐμοὶ ῥιπτέσθω μὲν
Πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ᾽
Ἐρεθιζέσθω βροντῇ, σφακέλῳ τ᾽
Ἀγρίων ἀνέμων· χθόνα δ᾽ ἐκ πυθμένων
Αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
Κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
Ξυγχώσειεν, τῶν τ᾽ οὐρανίων
Ἄστρων διόδους· ἔς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
Τοὐμὸν, ἀνάγκης στεῤῥαῖς δίναις·
Πάντως ἐμέ γ᾽ οὐ θανατώσει.
Ἑρ. Τοιάδε μέντοι τῶν φρενοπλήκτων
Βουλεύματ᾽ ἔπη τ᾽ ἐστὶν ἀκοῦσαι.
Τί γὰρ ἐλλείπει μὴ παρακαίειν;

Nam mentiri nescit os
Jovis, sed perficit omne verbum. Tu vero
Dispice et cura; neque pervicaciam unquam
Existimes meliorem bono consilio.
CHO. Nobis quidem Mercurius videtur non intempestiva
Fari; jubet enim te, pervicacia
Deposita, investigare sapiens consilium. Obtempera
Turpe est enim sapienti in peccare.
PRO. Scienti mihi hæc mandata
Iste exposuit, sed male tractari
Hostem ab hostibus, nihil est indecori.
Porro, in me projiciatur
Crispisulcans igneum fulmen, æther vero
Concutiatur tonitru, et turbine
Furentium ventorum, terram autem ex fundo
Cum radicibus vibret ventus,
Fluctum vero maris insano vortice
Cum astrorum cœlestium
Cursibus commisceat, atque in atrum
Tartarum penitus projiciat corpus
Meum, necessitatis rigidis turbinibus:
Omnino tamen me necare non poterit.
MER. Tales nimirum mente-percussorum
Cogitationes et voces licet audire.
Quid enim abest a delirio?

Et quum tanto prematur infortunio, quid de insania remit-
Vos vero ærumnis [teret?
Hujus compatientes, locis
Ex his celeriter aliquo discedite;
Ne animos vestros attonitos reddat
Mugitus tonitrus immanis.

CHO. Aliud quid loquaris et suadeas
Mihi quod et persuadebis. nam
Hunc sermonem adduxisti non ferendum.
Quomodo jubes me improbitatem exercere?
Cum hoc volo perpeti, quicquid oporteat;
Didici enim odisse desertores;
Nec datur vitium
Quod magis quam hoc despuam.

MER. Sed memineritis quæ ego præmoneo;
Neque a malo deprehensæ,
Incusetis fortunam, neque dicatis unquam
Jovem vos in improvisum
Infortunium conjecisse; non inquam, sed vos
Vosmet: scientes enim
Neque ex improviso, neque clam
In inextricabilem laqueum calamitatis
Incogitantia implicabimini.

PRO. Atqui facto et non amplius verbo
Tersa concussa est;

Εἰ δὲ τάδ' ἀτυχεῖ, τί χαλᾷ μανιῶν;
Ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
Συγκάμνουσαι ταῖς τοῦδε, τόπων
Μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς·
Μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
Βροντῆς μύκημ' ἀτέραμνον.
Χο. Ἄλλο τί φώνει καὶ παραμυθοῦ μ'
Ὅ τι καὶ πείσεις. οὐ γάρ δή που
Τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
Πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
Μετὰ τοῦδ' ὅ τι χρὴ πάσχειν ἐθέλω·
Τοὺς προδότας γὰρ μισεῖν ἔμαθον·
Κ' οὐκ ἔστι νόσος
Τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.
Ἑρ. Ἀλλ' οὖν μέμνησθ' ἅτ' ἐγὼ προλέγω·
Μηδὲ πρὸς ἄτης θηραθεῖσαι,
Μέμψησθε τύχην, μηδέ ποτ' εἴπηθ'
Ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
Πῆμ' εἰσέβαλε· μὴ δῆτ', αὐταὶ δ'
Ὑμᾶς αὐτάς· εἰδυῖαι γὰρ
Κοὐκ ἐξαίφνης, οὐδὲ λαθραίως
Εἰς ἀπέραντον δίκτυον ἄτης
Ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.
Πρ. Καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ
Χθὼν σεσάλευται·
Βρυχία δ' ἠχὼ παραμυκᾶται

Βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
Στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν
Εἱλίσσουσι· σκιρτᾷ δ' ἀνέμων
Πνεύματα πάντων, εἰς ἄλληλα
Στάσιν ἀντίπνουν ἀποδεικνύμενα·
Ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
Τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν
Τεύχουσα φόβον στείχει φανερῶς.
Ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
Αἰθὴρ κοινὸν φάος εἱλίσσων
Ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω.

Et reboat raucus fragor
Tonitrus, volumina vero emicant
Fulgurum ignea, turbines autem pulverem
Circumagitant; et exsiliunt ventorum
Omnium flatus, in se mutuo
Ex adverso spirantem seditionem ostendentes:
Æther vero mari est confusus.
Talis vehemens plaga a Jove
Terrorem incutiens in me aperte venit.
O matris meæ veneratio, ô omnium
Communem lucem circumvolvens æther,
Cernis quam injusta patiar.

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΔΙΑ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΕΤΕΟΚΛΗΣ.
ΑΓΓΕΛΟΣ.
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ.
ΙΣΜΗΝΗ.
ΑΝΤΙΓΟΝΗ.
ΚΗΡΥΞ.

Προλογίζει δὲ Ἐτεοκλῆς, παρασκευάζων τὸν τῶν Θηβαίων δῆμον εἰς φρουρὰν τῆς πόλεως.

SEPTEM CONTRA THEBAS.

ETEOCLES.

Cadmei cives, tempestiva oportet loqui (*eum*),
Qui rerum curam gerit in puppi civitatis
Clavum movens, palpebras non componens somno.
Si enim bene rem geramus, causa ad deos refertur:
Sin aliter, quod absit, acciderit infortunium,
Unus Eteocles multus per urbem
Decantaretur a civibus præludiis tumultuosis,
Et lamentis, quorum Jupiter averruncus,
Uti nominatur, sit Cadmæorum civitati.
Vos autem nunc oportet, et eum qui nondum attigit
Pubertatis florem, et eum qui tempore pubertatem excessit,
Vigorem multum reparantem corporis
Curam habentem unumquemque, sicut convenit.

ΑΙΣΧΥΛΟΥ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ.

ΕΤΕΟΚΛΗΣ. ΔΗΜΟΣ ΤΩΝ ΘΗΒΑΙΩΝ.

ΕΤΕΟΚΛΗΣ.

ΚΑΔΜΟΥ πολῖται, χρὴ λέγειν τὰ καίρια,
Ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
Οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
Εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν·
Εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
Ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις,
Οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
Ἐπώνυμος γένοιτο Καδμείων πόλει.
Ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
Ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ,
Βλάστημον ἀλδαίνοντα σώματος πολὺν
Ὥραν ἔχονθ' ἕκαστον, ὥστε συμπρεπὲς,

Πόλει τ' ἀρήγειν, καὶ θεῶν ἐγχωρίων
Βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε,
Τέκνοις τε, γῇ τε μητρὶ, φιλτάτῃ τροφῷ.
Ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
Ἅπαντα πανδοκοῦσα παιδίας ὄτλον,
Ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους
Πιστοὺς, ὅπως γένοισθε πρὸς χρέος τόδε.
Καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
Χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
Καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
Νῦν δ' ὡς ὁ μάντις φησὶν, οἰωνῶν βοτὴρ,
Ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν, πυρὸς δίχα,
Χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
Οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
Λέγει μεγίστην προσβολὴν Ἀχαιΐδα
Νυκτηγορεῖσθαι κἀπιβουλεύσειν πόλει.
Ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
Ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
Πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασι
Πύργων στάθητε, καὶ πύλων ἐπ' ἐξόδοις
Μίμνοντες εὐθαρσεῖτε, μηδ' ἐπηλύδων
Ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
Σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
Ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾷν ὁδῷ·
Καὶ τῶνδ' ἀκούσας, οὔτι μὴ ληφθῶ δόλῳ.

Urbi succurrere, et deorum indigenarum
Altaribus, (ne unquam honoribus destituantur)
Liberisque, terræque matri, charissimæ altrici.
Hæc enim (*vos*) pueros reptantes benigno solo,
Omnem suscipiens educationis molestiam,
Nutrivit, ut coloni [cives] scutigeri
Fideles essetis in hanc necessitatem.
Et nunc quidem in hunc usque diem bene propensus
Est deus: hoc enim tempore obsessis
Feliciter in plerisque bellum a diis succedit.
Jam vero sicut ait vates, curator avium,
Auribus et mente observans absque igne
Fatidicas volucres arte infallibili:
Ille talium vaticinationum magister
Dicit maximum agmen Achivorum
Noctu contrahi, et insidiaturum esse urbi.
Quare ad portas, et turrium pinnas
Festinate cuncti, accelerate cum armis omnibus,
Implete propugnacula, et super tabulata
Turrium state, et portarum in exitibus
Manentes confidite, neque advenarum
Formidate admodum multitudinem: felicem exitum deus dabit.
Quin et ego speculatores, exploratoresque exercitus
Emisi, quos viam spero non frustra capessere;
A quibus certior factus nunquam capiar dolo.

NUN. Eteocles, præstantissime Cadmæorum rex,
Venio certa inde ab exercitu ferens:
Ipse enim ocularis testis sum rerum omnium.
Nam viri septem bellicosi duces
Bovem mactantes super clypeum nigro (*ferro*) revinctum,
Et contingentes manibus taurinum cruorem,
Per Martem, Bellonam, et Pavorem sanguinis-avidum
Sancte-jurarunt, se aut civitati suffossiones
Struentes, vi perdituros Cadmæorum urbem,
Aut hanc morientes terram tincturos sanguine.
Quin et sui monumenta domum ad parentes (*mittenda*)
Adrasti currum manibus circumposuerunt, lacrymam
Stillantes: misericordia vero in ore nulla fuit.
Ferreus enim animus virtute excandescens
Spirabat, ut leonum, pugnam cernentium.
Et horum rumor non ignavia protrahitur.
Sortientes vero reliqui, ut forte lectus
Unusquisque ad portas turmam duceret.
Adversus hæc optimos quosque viros delectos urbis
Ad portarum exitus ordina celeriter.
Jam enim prope integre-armatus Argivorum exercitus
Accedit, pulverem excitat, et campos spuma alba
Colorat guttis ex equinis naribus.
Tu vero, tanquam navis peritus gubernator,
Urbem munito, priusquam ingruat spiritus
Martis: (fremit enim fluctus terrestris exercitus)

ΕΤΕΟΚΛΗΣ. ΑΓΓΕΛΟΣ.

ΑΓΓΕΛΟΣ.

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
Ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων·
Αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων.
Ἄνδρες γὰρ ἑπτὰ, θούριοι λοχαγέται,
Ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος,
Καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρην, Ἐνυὼ καὶ φιλαίματον Φόβον
Ὡρκωμότησαν, ἢ πόλει κατασκαφὰς
Θέντες, λαπάξειν ἄστυ Καδμείων βίᾳ,
Ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
Μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους
Πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον δάκρυ
Λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.
Σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
Ἔπνει, λεόντων ὡς Ἄρην δεδορκότων.
Καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται.
Κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
Ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
Πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
Πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος.
Ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
Χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
Χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πλευμόνων.
Σὺ δ', ὥστε νηὸς κεδνὸς οἰακοστρόφος

Φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεος· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
Καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
Κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
Ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
Εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔσῃ.

Ἐτ. Ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοὶ
Ἀρά τ', ἐριννὺς πατρὸς ἡ μεγασθενὴς,
Μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον
Ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
Φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
Ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
Ζυγοῖσι δουλείοισι μήποτε σχέθειν·
Γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
Πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΣ.

ΘΡΕΟΜΑΙ φοβερὰ μεγάλ' ἄχη·
Μεθεῖται στρατὸς στρατόπεδον λιπὼν,
Ῥεῖ πολὺς ὧδε λεὼς πρόδρομος ἱππότας.
Αἰθέρια κόνις με πείθει φανεῖσ'
Ἄναυδος, σαφὴς, ἔτυμος ἄγγελος·
Ἐλεδεμνὰς πεδιοπλόκτυπός τ'
Ὠσὶ χρίμπτεται βοὰ, ποτᾶται,
Βρέμει δ' ἀμαχέτου
Δίκαν ὕδατος ὀροκτύπου.
Ἰὼ, ἰὼ, ἰὼ, ἰώ. θεοὶ θεαί τ'

Et in has res opportunitatem quam celerrime cape.
Cætera ipse fidum diurnum speculatorem
Oculum habebo, ac perspicuitate sermonis mei
Certior factus eorum quæ foris, incolumis eris.

ETE. O Jupiter, et Terra, urbisque custodes dii,
Execratioque, furia patris præpotens,
Ne mihi civitatem funditus perditam
Extirpetis ab hostibus captam, Græciæ sermonem
Fundentem, et domos cum focis vobis dedicatis:
Cadmi vero tum regionem tum urbem liberam
Jugo servili nequaquam cohibeatis:
Estote auxilio; communiter utilia spero me dicere;
Nam civitas prospere agens honorat deos.

CHO. Queror terribilia magna mala,
Accedit acies castra relinquens,
Confluit huc multus populus equestris præcursor,
Pulvis ætherius me docet apparens,
Mutus, manifestus, verus nuntius.
Et somnum excutiens ab equorum ungulis
Campum quatientibus accedit auribus clamor, volat, fremit
Ceu rapidus torrens montano
Flumine decurrens
Eheu, eheu, dii, deæque
Concitatum malum abigite.
Cum clamore ante mœnia

Milites albis clypeis decori
Ruunt ad urbem festinantes.
Quis tandem liberabit,
Quis succurret
Deorum aut dearum?
Num ergo procidam
Ad simulachra numinum?
Heu divi bonas sedes obtinentes,
Tempus est simulachra prehendere.
Quid cunctamur miseræ?
Auditis aut non auditis clypeorum sonitum?
Quando, si id non nunc facimus,
Cum peplis coronisque supplices accidemus?
Sonum persensi; strepitus est haud unius hastæ.
Quid ages? num prodes
Telluris antique (*præses*) Mars,
Propriam terram?
O numen aurea casside, Respice, respice urbem,
Quam olim charissimam habuisti.
O urbi-custodes dii terræ,
Agite omnes,
Aspicite virginum
Catervam pro evitanda
Servitute supplicem.
Nam per urbem fluctus
Virorum cristis obliquis

Ὀρόμενον κακὸν ἀλεύσατε.
Βοᾷ ὑπὲρ τειχέων ὁ
Λεύκασπις ὄρνυται λαὸς
Εὐτρεπὴς, ἐπὶ πόλιν διώκων.
Τίς ἄρα ῥύσεται;
Τίς ἄρ' ἐπαρκέσει
Θεῶν ἢ θεᾶν;
Πότερα δῆτ' ἐγὼ ποτι-
πέσω βρέτη δαιμόνων;
Ἰὼ μάκαρες εὔεδροι,
Ἀκμάζει βρετέων ἔχεσθαι.
Τί μέλλομεν ἀγάστονοι;
Ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
Πέπλων καὶ στεφέων
Πότ' εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν;
Κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
Τί ῥέξεις; προδώσεις,
Παλαίχθον Ἄρης,
Τὰν τεὰν γᾶν;
Ὦ χρυσεοπήληξ δαῖμον, ἔπιδ' ἔπιδε πόλιν
Ἄν ποτ' εὐφιλήταν ἔθου.
Θεοὶ πολισσοῦχοι χθονὸς,
Ἴτ', ἴτε πάντες,
Ἴδετε παρθένων
Ἱκέσιον λόχον
Δουλοσύνας ὕπερ.

Κῦμα γὰρ περὶ πτόλιν
Δοχμολοφᾶν ἀνδρῶν
Καχλάζει, πνοαῖς
Ἄρεος ὀρόμενον.
Ἀλλ', ὦ Ζεῦ πάτερ παντελὲς, πάντως
Ἄρηξον δαΐων ἅλωσιν.
Ἀργεῖοι γὰρ πόλισμα Κάδμου
Κυκλοῦνται· φόβος δ' ἀρηΐων ὅπλων·
Διάδετοι δὲ γενύων ἱππείων
Κινύρονται φόνον χαλινοί·
Ἕπτα δ' ἀγήνορες πρέποντες στρατοῦ
Δορυσσόοις σαγαῖς, πύλαισιν ἑβδόμαις
Προσίστανται, πάλῳ λαχόντες.
Σύ τ' ὦ Διογενὲς
Φιλόμαχον κράτος,
Ῥυσίπτολις γενοῦ,
Παλλὰς, ὅ θ' ἵππιος
Ποντομέδων ἄναξ,
Ἰχθυβόλῳ μαχανᾷ,
Ποσειδᾶν, ἐπίλυσιν
Φόβων, ἐπίλυσιν δίδου·
Σύ τ', Ἄρης, φεῦ, φεῦ,
Κάδμου ἐπώνυμον
Πόλιν φύλαξον,
Κήδεσαί τ' ἐναργῶς·
Καὶ Κύπρις, ἅτε

Cachinnat, flatibus
Martis concitus.
Ast, o Jupiter Perfector, omnimodo
Propulsa hostium expugnationem.
Argivi enim Cadmi oppidum
Cingunt, et timor est armorum bellicorum.
Et illigata maxillis equorum
Cædem stridunt fræna,
Et septem generosi viri præstantes de exercitu
Hastam arcentibus sagis septem portis
Adstant sorte lecti.
Tu vero ô Jove-genitum
Robur amans pugnæ,
Liberatrix urbi sis,
Pallas, et ô equestris
Pontum gubernans rex,
Pisces-figente tridente,
Neptune, solutionem
Metus, solutionem tribue:
Tu quoque Mars, heu heu,
A Cadmo nominatam
Urbem tuere,
Ejusque curam gere evidenter:
Et Venus, quæ [es]
Generis prima mater,
Defende; tuo

Sanguine sati sumus; precibus te
Religiosis invocantes
Adimus. Et tu
Lycee rex, Lupercus
Esto hostili exercitui,
Gemitûs nostri clamoris [causa]; tu vero
Latonigena puella,
Arcum bene instrue
Diana chara. eheu! eheu!
Strepitum curruum circa urbem audio,
O veneranda Juno:
Sonuerunt axium onustarum fistulæ,
Diana chara. eheu! eheu!
Hastis concussus æther furit.
Quid patitur urbs nostra, quid fiet?
Quo tandem finem ducit deus? eheu! eheu! [petuntur.
Acervus lapidum venit in propugnácula, quorum summa
O dilecte Apollo,
Strepitus in portis ære-revinctorum clypeo
Et a Jove [missa] sacra cohors
Bellum perfectura.
Tu vero in pugnis beata
Regina Onca pro urbe [te sistens]
Septem patentem portis sedem protege.
Heu omnipotentes dii,
Heu perfecti perfectæque terræ

Γένους προμάτωρ,
Ἄλευσον, σέθεν ἐξ αἵμα-
τος γεγόναμεν· λιταῖς σε
θεοκλύτοις ἀΰουσαι
Πελαζόμεσθα. καὶ σὺ
Λύκει᾽ ἄναξ, λύκειος
Γενοῦ στρατῷ δαΐῳ,
Στόνων ἀϋτᾶς· σύ τ᾽ ὦ
Λητογένεια κούρα,
Τόξον εὖ πυκάζου
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἕ.
Ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω,
Ὦ πότνια Ἥρα·
Ἔλακον ἀξόνων βριθομένων χνόαι,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἕ.
Δορυτίνακτος δ᾽ αἰθὴρ ἐπιμαίνεται.
Τί πόλις ἄμμιν πάσχει; τί γενήσεται;
Ποῖ δ᾽ ἔτι τέλος ἐπάγει θεός; ἒ ἒ ἒ ἕ.
Ἀκροβόλων δ᾽ ἐπάλ-
ξεων λιθὰς ἔρχεται.
Ὦ φίλ᾽ Ἄπολλον,
Κόναβος ἐν πύλαις
Χαλκοδέτων σακέων,
Καὶ διόθεν πολε-
μόκραντον ἁγνὸν τέλος.
Ἐν μάχαισί τε μάκαιρ᾽

Ἄνασσ᾽ Ὄγκα πρὸ πόλεως
Ἑπτάπυλον ἕδος ἐπιῤῥύου.
Ἰὼ παναλκεῖς θεοὶ,
Ἰὼ τέλειοι τέλειαί τε γᾶς
Τᾶσδε πυργοφύλακες,
Πόλιν δορίπονον μὴ προδῶθ᾽
Ἑτεροφώνῳ στρατῷ.
Κλύετε παρθένων,
Κλύετε πανδίκως
Χειροτόνους λιτὰς,
Ἰὼ φίλοι δαίμονες,
Λυτήριοι ἀμφιβάντες πόλιν,
Δείξαθ᾽ ὡς φιλοπόλιες,
Μέλεσθ᾽ ἱερῶν δημίων,
Μελόμενοι δ᾽ ἀρήξατε·
Φιλοθύτων δέ τοι
Πόλεως ὀργίων
Μνήστορες ἔστε μοι.

ΕΤΕΟΚΛΗΣ. ΧΟΡΟΣ.

Ἐτ. ΥΜΑΣ ἐρωτῶ, θρέμματ᾽ οὐκ ἀνασχετὰ,
Ἦ ταῦτ᾽ ἄριστα καὶ πόλει σωτήρια,
Στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
Βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν,
Αὔειν, λακάζειν, σωφρόνων μισήματα;
Μήτ᾽ ἐν κακοῖσι, μήτ᾽ ἐν εὐεστοῖ φίλῃ,

Hujus turrium custodes,
Urbem bello laborantem ne prodatis
Alienæ linguæ exercitui.
Audite virginum,
Audite justissimam
Protensis manibus precationem,
Heu dilecti dii,
Urbem servantes et tuentes,
Monstrate quam sitis civitatis amantes,
Curate sacra publica,
Curantes vero succurrite:
Et urbis igitur cæremoniarum
Sacrificia frequentantium
Estote nobis memores.

ETE. Vos interrogo, intoleranda propago,
Num hæc optima, et urbi salutaria,
Hujusque exercitus obsessi fiducia,
Procidentes ad simulachra
Clamare, ejulare, sapientibus odiosa natio.
Neve in malis, neve in prosperitate dilecta,
Contubernalis sim muliebri sexui.
Nam si imperat, non ferendus fastus,
Sin metuat, domui et urbi plus (*confert*) mali.
Et nunc civibus trepidas discursationes
Instituentes, excitastis excordem metum:

Res autem eorum qui foris sunt [hostium] quantum fieri potest
Augetis: ipsi adeo a nobismet domi debellamur.
Talia fœminis cohabitans habebis.
Quod si quis meo imperio non audiens fuerit,
Vir, mulierque, aut quodcunque inter hos medium,
Suffragium in eos mortiferum deliberabit,
Nec lapidariam plebis effugiet mortem.
Publica negotia viro sunt curæ, ne consultet fœmina,
Intus vero existens nihil damni importat.
Audisti, aut non audisti, an surdæ loquor?

CHO. O Chare Œdipi fili, inhorrui audito [*strophe* 1.
Currisono strepitu, cum
Modioli strident rotas vertentes, (*strepituque*)
Equinorum in ore clavorum somnum excutientium
Frænorum igne genitorum.

ETE. Quid ergo, nautane in proram fugiens
A puppe, invenit remedium salutis,
Nave marino fluctu laborante?

CHO. At ad deorum accurro [*antistrophe* 1.
Simulachra vetera, confisa diis, cum tempestatis
Pernitiosæ ingruentis fremitus in portis [oriretur] continuo
Excitate sum metu ad beatorum supplicationem, urbem
Ut subsidio protegant.

Ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
Κρατοῦσα μὲν γὰρ, οὐχ ὁμιλητὸν θράσος,
Δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
Καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
Θεῖσαι, διεῤῥοθήσατ' ἄψυχον κάκην·
Τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε·
Αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
Τοιαῦτα δ' ἂν γυναιξὶ συνναίων ἔχοις.
Κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται
Ἀνὴρ, γυνή τε χὤ τι τῶν μεταίχμιον,
Ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
Λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον.
Μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω
Τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
Ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;

Χο. Ὦ φίλον Οἰδίπου τέκος ἔδεισ' ἀκού- στρ. α'.
σασα τὸν ἁρματόκτυπον ὄτοβον, ὅτε
Σύριγγες ἔκλαγξαν ἑλίτροχοι, ἱππι-
κῶν τ' ἀΰπνων πηδαλίων διὰ στόμα,
Πυριγενετᾶν χαλινῶν.

Ετ. Τί οὖν, ὁ ναύτης ἆρά γ' ἐς πρώραν φυγὼν
Πρύμνηθεν, εὗρε μηχανὴν σωτηρίας,
Νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

Χο. Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ- ἀντ. α'.
χαῖα βρέτη, πίσυνος θεοῖς, νιφάδος ὅτ' ὀ-
λοᾶς νιφομένας βρόμος ἐν πύλαις, δὴ τότ'

Ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς, πόλεως
Ἵν' ὑπερέχοιεν ἀλκάν.

Ἐτ. Πύργων στέγειν εὔχεσθε πολέμιον δόρυ;

Χο. Οὐκοῦν τάδ' ἔσται πρὸς θεῶν.

Ἐτ. Ἀλλ' οὖν θεοὺς
Τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

Χο. Μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν στρ. β'.
Ἅδε πανήγυρις, μηδ' εἰσίδοιμι τάνδ'
Ἀστυδρομουμέναν πόλιν, καὶ στράτευμ'
Ἁπτόμενον πυρὶ δαΐῳ.

Ἐτ. Μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·
Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
Μήτηρ, γυνὴ, σωτῆρος· ὧδ' ἔχει λόγος.

Χο. Ἔστι· θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα. ἀντ. β'.
Πολλάκι δ' ἐν κακοῖσι τὰν ἀμήχανον
Ἐκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων
Κρημναμέναν νεφέλαν ὀρθοῖ.

Ἐτ. Ἀνδρῶν τάδ' ἐστὶ, σφάγια καὶ χρηστήρια
Θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
Σὸν δ' αὖ τὸ σιγᾷν, καὶ μένειν ἔσω δόμων.

Χο. Διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάμαστον στρ. γ'.
Δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.
Τίς τάδε νέμεσις στυγεῖ;

Ἐτ. Οὔτι φθονῶ σοι δαιμόνων τιμᾷν γένος·
Ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
Ἕκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ.

ETE. Oratis ut turris hastam repellat hostium?
CHO. Ergo hæc a diis erunt. ETE. Attamen deos
Capta urbe excedere sermo est.
CHO. Ne mea unquam ætate excedat deorum [*strophe* 2.
Isthæc societas; neque videam
Ad arcem hostium concursum atque oppugnationem,
Ex exercitum hostilem grassantem infesto igne.
ETE. Videne invocando deos male mihi consulas:
Obedientia enim prosperitatis est
Mater, ô mulier, sospitalis; sic se habet sermo meus.
CHO. Est quidem: diis autem inest vis adhuc præpotentior. [*ant.* 2.
Quæ sæpe in malis inextricabilem
E difficili miseria supra oculos
Impendentem nubem summovet.
ETE. Virorum hæc sunt, vistimas et sacrificia
Diis mactare, hostibus lacessentibus:
Tuum vero vicissim tacere et manere domi.
CHO. Deorum ope urbem incolimus indomitam; [*strophe* 3.
Hostiumque turbam propulsat turris nostra.
Quid hæc aversatur invidia? (i. *cur hæc invidè culpas?*)
ETE. Non invideo tibi, deorum quod colas genus:
Sed ne cives excordes reddas,
Quieta esto, neque ultra modum trepida.
CHO. Subitaneum audiens fragorem, [*antistrophe* 3.
Trepidante cum metu, hanc in arcem,

Venerandam sedem, me contuli.

ETE. Ne nunc, si forte mortuos aut vulneratos
Sentiatis, lamentis excipiatis.
Hac enim mortalium cæde Mars pascitur.

CHO. Attamen audio equestres fremitus.

ETE. Ne nunc audiens clare audias nimis.

CHO. Gemit scilicet civitas utpote [hostibus] eam obsidentibus.

ETE. Nonne igitur me de his consulere satis est?

CHO. Timeo, pulsatio enim ad portas augetur.

ETE. Non siles? ne quid horum per urbem efferas.

CHO. O numinum societas, ne munimenta prodas.

ETE. Non in malam rem abiens [nonne, perdita,] de his tacere sustinebis?

CHO. Dii urbis præsides, ne [committatis] ut in servitutem incidam.

ETE. Ipsa me et totam urbem in servitutem rediges.

CHO. Omnipotens Jupiter verte in hostes telum.

ETE. Proh Jupiter quale creasti mulierum genus!

CHO. Miserum, æque ac viri sunt quorum capta est civitas.

ETE. Iterum male ominaris attingens simulachra?

CHO. Namque exanimatione linguam rapit metus.

ETE. Utinam roganti leve hoc officium præstares.

CHO. Dicas quam citissime, et cito sciam.

ETE. Tace misera, amicos ne terrefacias.

CHO. Taceo: una cum aliis fatum feram.

Χο. Ποταίνιον κλύουσα πάταγον ἅμα ἀντ. γ'.
Ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπολιν,
Τίμιον ἕδος, ἱκόμαν.
Ἐτ. Μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους
Πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
Τούτῳ γὰρ Ἄρης βόσκεται φόνῳ βροτῶν.
Χο. Καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.
Ἐτ. Μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.
Χο. Στένει πόλισμα δῆθεν, ὡς κυκλουμένων.
Ἐτ. Οὔκουν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι;
Χο. Δέδοικ', ἀραγμὸς ἐν πύλαις ὀφέλλεται.
Ἐτ. Οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν.
Χο. Ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
Ἐτ. Οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;
Χο. Θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.
Ἐτ. Αὐτὴ σὺ δουλοῖς καί με καὶ πᾶσαν πόλιν.
Χο. Ὦ παγκρατὲς Ζεῦ τρέψον εἰς ἐχθροὺς βέλος.
Ἐτ. Ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
Χο. Μοχθηρὸν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.
Ἐτ. Παλινστομεῖς αὖ, θιγγάνουσ' ἀγαλμάτων;
Χο. Ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.
Ἐτ. Αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
Χο. Λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.
Ἐτ. Σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.
Χο. Σιγῶ· ξὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.
Ἐτ. Τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.

Καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων.
Εὔχου τὰ κρείσσω, ξυμμάχους εἶναι θεούς·
Κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
Ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
Θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
Ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς
Πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Δίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω,
Εὖ ξυντυχόντων, καὶ πόλεως σεσωσμένης,
Μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
Ταυροκτονοῦντας θεοῖσιν ὧδ' ἐπεύχομαι
Θήσειν τρόπαια, πολεμίων δ' ἐσθήματα
Λάφυρα δαΐων δουρίπληχθ' ἁγνοῖς δόμοις.
Τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς
Μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν.
Οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον.
Ἐγὼ δ' ἐπ' ἄνδρας ἓξ, ἐμοὶ ξὺν ἑβδόμῳ
Ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον,
Εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολὼν
Πρὶν ἀγγέλους σπερχνούς τε, καὶ ταχυῤῥόθους
Λόγους ἱκέσθαι, καὶ φλέγειν χρείας ὕπο.

ΧΟΡΟΣ.

ΜΕΛΕΙ, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ· ϛρ. α'.
Γείτονες δὲ καρδίας μέριμναι

ETE. Hoc verbum tuum præ cæteris eligo.
Ac præterea quidem recedens a simulacris
Precare meliora, deos auxiliatores fore:
Meaque audiens vota, mox tu
Cantilenam sacram deos placantem cantato,
Morem illum græcum clamoris sacrificalis,
Audaciam amicis, exuto hostium timore.
Ego vero regionis urbicustodibus diis,
Paganisque, et forum servantibus,
Dircæque fontibus, neque Ismenum excipio,
Rebus bene succedentibus, et urbe salva,
Ovibus (*nos*) cruentantes deorum focos,
Tauros mactantes diis hic voves
Dicaturos trophæa, hostiumque vestes,
Spolia adversariis armorum vi erepta domibus puris.
Talia tu non querula diis voveto,
Neque in vanis et immitibus singultibus:
Nihilo enim magis effugies fatum.
Ego vero viros sex, me cum septimo,
Strenuos adversarios, hostibus magna vi resistentes,
Ad septem munitos exitus ordinatum ibo,
Priusquam nuncii crebri et cito percrebrescentes
Rumores veniant, ac nos præ necessitate accendant.
CHO. Cura est, præ metu vero non quiescit animus: [*strophe* 1.
Nam propinquæ cordi solicitudines
Incendunt timorem, (*metuo*)

Circundantem mœnia populum,
Velut droconem pro pullis
Metuit cubilium
Infelix,
Columba quæ fœtus suos omnes alit.
Alii enim ad propugnacula
Universis copiis, universis ordinibus
Accedunt. quid me fiet?
Alii vero in undique percussos cives
Injiciunt lapides asperos.
Omni modo, ô Jovigenæ
Dii, urbem et aciem
Cadmigenam protegite.
Quale admigrabitis terræ solum [*antistrophe* 1.
Hoc melius, cum hostibus reliqueritis
Hanc feracem terram,
Et aquam Dircæam
Saluberrimum fluviorum,
Quotquot mittit Neptunus
Terram continens,
Tethyosque liberi?
Porro ô urbicustodes
Dii, iis qui extra
Turres (*sunt*) viros perdentem
Et arma abjicientem noxam
Immittentes. parate

Ζωπυροῦσι τάρβος,
Τὸν ἀμφιτειχῆ λεών
Δράκοντα δ' ὥς τις τέκνων
Ὑπερδέδοικε λεχέ-
ων δυσευνάτειρα
Πάντροφος πελειάς.
Τοὶ μὲν γὰρ ποτὶ πύργους
Πανδημεὶ, πανομιλεὶ
Στείχουσιν. τί γένωμαι;
Τοὶ δ' ἐπ' ἀμφιβόλοισιν
Ἰάπτουσι πολίταις
Χερμάδ' ὀκριόεσσαν.
Παντὶ τρόπῳ, διογενεῖς
Θεοὶ, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.
Ποῖον δ' ἀμείψεσθε γαίας πέδον ἀντιστ. α'.
Τᾶσδ' ἄρειον, ἐχθροῖς ἀφέντες
Τὰν βαθύχθον' αἶαν
Ὕδωρ τε Διρκαῖον εὐ-
τραφέστατον πομάτων,
Ὅσων ἵησι Ποσει-
δᾶν ὁ γαιάοχος
Τηθύος τε παῖδες;
Πρὸς τάδ', ἰὼ πολιοῦχοι
Θεοὶ, τοῖσι μὲν ἔξω
Πύργων, ἀνδρολέτειραν

Καὶ τὰν ῥίψοπλον ἄταν
Ἐμβαλόντες, ἄροισθε
Κῦδος· τοῖς δὲ πολίταις
Καὶ πόλεως ῥυτῆρες
Εὔεδροί τε στάθητ'
Ὀξυγόοις λιταῖσιν.
Οἰκτρὸν γὰρ πόλιν τήνδ' ὠγυγίαν στρ. β.
Ἀΐδι προϊάψαι, δορὸς ἄγραν,
Δουλείαν ψαφαρᾷ σποδῷ,
Ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν,
Περθομέναν ἀτίμως,
Τὰς δὲ κεχειρωμένας ἄγεσθαι
Ἒ, ἒ, νέας τε καὶ παλαιὰς
Ἱππηδὸν πλοκάμων
Περιῤῥηγνυμένων φαρέων.
Βοᾷ δ' ἐκκενουμένα πόλις,
Λαΐδος ὀλλυμένας μιξοθρόου,
Βαρείας τοι τύχας προταρβῶ.
Κλαυτὸν δ' ἀρτιτρόποις ὠμοδρόπων ἀντ. β.
Νομίμων προπάροιθεν, διαμεῖψαι
Δωμάτων στυγερὰν ὁδόν.
Τί; τὸν φθίμενον γὰρ προλέγω
Βέλτερα τῶνδε πράσσειν.
Πολλὰ γὰρ, εὖτ' ἂν πόλις δαμασθῇ,
Ἒ, ἒ, δυστυχῆ γε πράσσει.
Ἄλλος δ' ἄλλον ἄγει,

Gloriam : civibus vero
Urbis liberatores,
Et firmiter sedibus adhærentis immaneatis
Ob preces lugubres.
Miserabile enim erit urbem hanc antiquam [*strophe* 2.
In orcum præmature dimittere, hastæ prædam,
Servientem sordido pulveri,
A viro Achæo divinitus immisso
Indigne vastatam,
Captivas duci,
Heû, heu, heu ! puellas et vetulas,
Equorum instar, per comas,
Circumscissis vestibus.
Clamat vero (*quasi*) vacua civitas,
Captivis inter promiscuum strepitum pereuntibus;
Graves igitur miserias pertimesco.
Lachrymabile vero est virginibus modo pubescentibus [*ant.* 2.
Ante solennia (*connubialia*) crudam (*virginitatem*)
Decerpentia [i. e. justas nuptias] a domibus suis odiosum
iter peragere.
Quid ? mortuum enim dico
Melius his se habere.
Multa enim, quando expugnatur civitas, heu !
Et quidem infelicia patitur.
Alius alium rapit,
Cædit, hic ibi et incendium facit.

Fumo autem polluitur urbs tota:
Et furibundus spirat populi domitor
Inquinans pietatem Mars.
Strepitus per civitatem; [*strophe* 3.
Ad urbem vero septum turritum (*accedit.*)
A viro vir hasta interficitur:
Et balatus cru
Lactentium
Pueriles strepunt.
Rapinæ discursibus affines fiunt:
Rapiens rapienti occursat,
Et vacuum vacuus vocat,
Participem habere volens,
Nec minorem nec æqualem (*partem*) cupientes
Qualia ex his conjicere ratio adest?
Omne genus fructuum [*antistrophe* 3.
In terram cadens molestiam præbet occurrens:
Acerbus aspectus cellariarum:
Plurima vero miscellanea
Terræ dona inutilibus
Feruntur fluctibus.
Famulæque miseriis inassuetæ juvenes
Miseræ sunt ob lectum captivum
Viri felicis. Adeo ut
Sub immiti domino
Spes est nocturnum finem [i. e. mortem] adventurum

Φονεύει, τὰ δὲ καὶ πυρφορεῖ.
Καπνῷ χραίνεται πόλισμ' ἅπαν·
Μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
Μιαίνων εὐσέβειαν Ἄρης.
Κορκορυγαὶ δ' ἀν' ἄστυ, στ.
Ποτὶ πτόλιν δ' ὁρκάνα πυργῶτις.
Πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
Βλαχαὶ δ' αἱματόεσσαι
Τῶν ἐπιμαστιδίων
Ἀρτιβρεφεῖς βρέμονται.
Ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
Ξυμβολεῖ φέρων φέροντι,
Καὶ κενὸς κενὸν καλεῖ,
Ξύννομον θέλων ἔχειν,
Οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι.
Τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;
Παντοδαπὸς δὲ καρπὸς ἀντ. γ'.
Χαμάδις πεσὼν ἀλγύνει κυρήσας·
Πικρὸν δ' ὄμμα τῶν θαλαμηπόλων·
Πολλὰ δ' ἀκριτόφυρτος
Γᾶς δόσις οὐτιδανοῖς
Ἐν ῥοθίοις φορεῖται.
Δμωΐδες δὲ καινοπήμονες νέαι
Τλήμονες εὐνὰν αἰχμάλωτον
Ἀνδρὸς εὐτυχοῦντος. ὡς
Δυσμενοῦς ὑπερτέρου

Ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν
Παγκλαύτων ἀλγέων ἐπίῤῥοθον.

ἩΜΙΧΟΡΟΣ.

Ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
Πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
Σπουδῇ διώκων πομπίμους χνοὰς ποδῶν.
Ἡμ. Καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος
Εἴσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
Σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα.

ΑΓΓΕΛΟΣ. ΕΤΕΟΚΛΗΣ. ΧΟΡΟΣ.

Ἀγ. ΛΕΓΟΙΜ' ἂν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,
Ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσι
Βρέμει· πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
Ὁ μάντις. Οὐ γὰρ σφάγια γίνεται καλά.
Τυδεὺς δὲ μαργῶν, καὶ μάχης λελιμμένος,
Μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων, βοᾷ.
Θένει δ' ὀνείδει μάντιν Ὀϊκλείδην σοφὸν,
Σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
Τοιαῦτ' ἀϋτῶν, τρεῖς κατασκίους λόφους
Σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῷ
Χαλκήλατοι κλάζουσι κώδωνες φόβον·

Lachrymabilium dolorum liberatorem.
SEM. Quin speculator, ut videtur, exercitus
Rumorem aliquem nobis, o amicæ, novum affert,
Festino gressu adproperans deducentes axes pedum.
SEM. Quin etiam ipse rex Œdipi filius
Incedit, recentem nuncii sermonem ut audiat.
Festinatio vero hujus non sinit gradum absolvere.
NUN. Narrare possum utpote probe sciens, res hostium,
Quem quisque ad portas sortitus est locum.
Tydeus quidem jamjam apud portas Prœtides
Fremit : sed Ismeni vadum transire non patitur
Vates. haud enim fausta sunt exta.
At Tydeus furens et pugnæ cupidus
Vociferatur, uti serpens calore meridiano excitus.
Pungit vero probris vatem Œclidem sapientem,
[Criminans eum] adulari [callido quodam prætextu devitare] mortem et pugnam ignaviâ
Talia vociferans cristas tres umbrosas
Quatit, cassidis jubam, ab hujus clypeo
Ærea clangunt terrorem tintinnabula:
Habet vero superbum hoc insigne in scuto,
Fabricatum cœlum astris resplendens :
Splendidumque plenilunium in scuto medio
Venerandissimum siderum, noctis oculus, eminet.
Hoc modo se efferens superbis armamentis

Clamat apud ripas fluminis: pugnam autem expetens
Velut equus contra fræna sæviens, expectat,
Qui clangorem tubæ expectans concitatur.
Quemnam huic oppones? quis Prœti portis,
Claustris apertis, se propugnaturum esse spondebit?

ETE. Ornatum quidem ipse viri timeo nullum;
Neque vulnera impingunt insignia,
Cristæ et tintinnabulum non mordent absque cuspide.
Et nox ista, quam dicis cœli sideribus
Illustrem in clypeo effictam esse,
Forsan erit ominosa stultitia alicui.
Si enim morienti nox in oculos cadat,
Illi ferenti signum hoc fastuosum,
Esset recte justeque denominatum,
Et ipse in semet opprobrium vaticinaretur.
At ego Tydeo probum Astaci filium
Hunc opponam portarum propugnatorem,
Generosum admodum, et pudoris thronum
Venerantem, aversatumque insolentes sermones.
Nam in turpibus lentus, non tamen ideo ignavus esse amat.
Sed a viris terra satis, queis Mars pepercit,
Velut a radice pullulavit, et est revera indigena
Melanippus; pugnæ vero eventum in aleis Mars decernet.

Ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
Φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
Λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
Πρέσϐιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει.
Τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς,
Βοᾷ παρ' ὄχθαις ποταμίαις· μάχης δ' ἐρῶν
Ἵππος χαλινῶν ὡς κατασθμαίνων, μένει,
Ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
Τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν,
Κλείθρων λυθέντων, προστατεῖν φερέγγυος;
Ἐτ. Κόσμον μὲν ἀνδρὸς οὔ τιν' ἂν τρέσαιμ' ἐγώ·
Οὐδ' ἑλκοποιὰ γίνεται τὰ σήματα,
Λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
Καὶ νύκτα ταύτην, ἣν λέγεις ἐπ' ἀσπίδος
Ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
Τάχ' ἂν γένοιτο μάντις ἡ ᾽νοιά τινι.
Εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
Τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
Γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
Καὐτὸς καθ' αὑτοῦ τὴν ὕϐριν μαντεύσεται.
Ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
Τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
Μάλ' εὐγενῆ τε, καὶ τὸν Αἰσχύνης θρόνον
Τιμῶντα, καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
Αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ.
Σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,

Ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἐστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
Εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

Χο. Τὸν ἁμὸν νυν ἀντίπαλον εὐτυχεῖν στρ. α΄.
Θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
Πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
Ὀλομένων ἰδέσθαι.

Ἀγ. Τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί.
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
Γίγας ὅδ', ἄλλου τοῦ πάρος λελεγμένου
Μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ·
Πύργοις δ' ἀπειλεῖ δεῖν', ἃ μὴ κραίνοι τύχη.
Θεοῦ τε γὰρ θέλοντος, ἐκπέρσειν πόλιν,
Καὶ μὴ θέλοντός, φησιν, οὐδὲ τὴν Διὸς
Ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν.
Τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
Μεσημβρινοῖσι θάλπεσι προσῄκασεν.
Ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον,
Φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
Χρυσοῖς δὲ φωνεῖ γράμμασι· ΠΡΗΣΩ ΠΟΛΙΝ.
Τοιῷδε φωτὶ πέμπε. Τίς ξυστήσεται;
Τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;

Ἐτ. Καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
Τῶν τοι ματαίων ἀνδράσι φρονημάτων

Justitia autem consanguinea illum potissimum mittit [i. e. incitat]
Ad avertendum matri, quæ eum peperit, hostilem hastam.

CHO. Meum propugnatorem fortunatum esse [*strophe* 1.
Dent dii, quoniam justus civitatis
Defensor exurgit: tremo vero
Sanguiferas neces amicorum
Pereuntium videre.

NUN. Huic quidem ita feliciter agere faxint dii.
Capaneus vero Electras portas sortitus est,
Gigas hic, altero quem modo dixi
Major, et ejus jactantia haud hominem sapit:
Turribus minatur atrocia, quæ non perficiat fortuna
Nam deo lubente se expugnaturum urbem
Et non lubente ait, neque Jovis
Iram terram percutientem impedituram.
Fulgura vero et fulmineos ictus
Meridianis assimilavit caloribus.
Insigne autem habet, virum nudum igniferum,
Cui vibrata [parata] in manu fax ardet:
Aureis autem dicit literis, COMBURAM URBEM.
Tali autem viro mitte aliquem. Sed quis cum eo congredietur?
Quis virum superbientem non timens manebit?

ETE. Et huic lucro lucrum paritur aliud.
Vanarum hominibus jactationum

Lingua vera est accusatrix.
Capaneus minatur, ad agendum paratus,
Deos blasphemans, et os exercens
Gaudio frustraneo, mortalis existens, in cœlum
Mittit, æstuantia verba, quæ Jupiter audire possit.
At spero illi jure igniferum
Venturum fulmen, nihil simile
Meridianis caloribus solis.
Adversus eum, licet nimium sit garrulus [fortasse, ad loquendum segnis,]
Vir animi fervidus ordinatur, fortis Polyphontes.
Idoneum præsidium tutelaris
Dianæ favore, cæterisque cum diis.
Dic alium alias sortitum portas.
CHO. Pereat qui magna imprecatur urbi, [*antistrophe* 1.
Fulminisque telum eum arceat,
Antequam meam irruat in domum, et a virgineis
Sedibus superba
Hasta exturbet.
NUN. Quinetiam eum, qui deinde sortitus est portas,
Dicam. tertio enim Eteoclo tertia sors
Exsiliit e supina ærea casside,
Neitidibus portis ut cohortem admoveat.
Et equos in phaleris ferocientes
Circumagit, in portas irruere cupientes.
Sed cami strident barbarorum more,

Ἡ γλῶσσ' ἀληθὴς γίνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ, δρᾷν παρεσκευασμένος,
Θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα
Χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν
Πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
Πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
Ἥξειν κεραυνὸν, οὐδὲν ἐξῃκασμένον
Μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
Ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
Αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
Φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς.
Λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.
ιο. Ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται, ἀντιστ. α'.
Κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
Πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
Ἑδωλίων ὑπερκόπῳ
Δορί ποτ' ἐκλαπάξαι.
λγ. Καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
Λέξω. Τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
Ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους,
Πύλαισι Νηΐτῃσι προσβαλεῖν λόχον.
Ἵππους δ' ἐπ' ἀμπυκτῆρσιν ἐμβριμωμένας
Δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
Φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
Μυκτηροκόμποις πνεύμασι πληρούμενοι.

Ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
Ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις
Στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων,
Βοᾷ δέ χ' οὗτος γραμμάτων ἐν ξυλλαβαῖς,
Ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
Καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
Πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.

Ἐτ. Πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ·
Καὶ δὴ πέπεμπτ', οὐ κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεὺς Κρέοντος σπέρμα, τοῦ σπαρτῶν γένους
Ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
Βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται·
Ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
Ἢ καὶ δύ' ἄνδρε, καὶ πόλισμ' ἐπ' ἀσπίδος
Ἑλών, λαφύροις δῶμα κοσμήσει πατρός.
Κόμπαζ' ἐπ' ἄλλῳ, μηδ' ἐμοὶ φθόνει λέγων.

Χο. Ἐπεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν, στρ. β΄.
Ἰώ, πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
Ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
Μαινομένᾳ φρενί, τώς νιν Ζεὺς νεμέ-
τωρ ἐπίδοι κοταίνων.

Ἀγ. Τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
Ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
Ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.

Ferocientium narium efflatibus pleni.
Effigiatus autem est clypeus haud vulgari modo:
Vir namque armatus scalæ per gradus
Aggreditur hostium turrim, expugnare cupiens,
Hic etiam clamat literarum in syllabis,
Quod ne Mars ipse eum repellat turribus.
Et huic viro mitte æqualem aliquem,
Qui ab urbe hac arceat servile jugum.

ETE. Mittam jam hunc, feliciter quidem:
Et mittitur, non ornatum superbum [jactationem] in manibus habens,
Megareus Creontis seminium, genere satorum terra,
Qui neque furentium equestrium hinnituum
Fremitum timens portas destituet:
Sed aut moriens terræ nutrimenti referet gratiam,
Aut duo viros et urbem in scuto
Capiens, exuviis paternam ornabit domum.
Jactes de alio, nec mihi dicendo parcas.

CHO. Tibi quidem omnia precor bene, ô defensor [*strophe* 2.
Mearum domorum, illis vero male succedere.
Utque jactabunda verba proferunt in urbem
Insaniente animo, sic eos Jupiter
Vindex iratus respiciat.

NUN. Quartus alius, proximas portas habens
Oncæ Minervæ, cum clamore adstat,
Hippomedontis figura et forma ingens:

Halonem vero magnum, (clypei orbem dico,)
Horrui eo rotante; aliter (*a vero*) non loquor.
Anaglyphorum vero faber sane haud vulgaris aliqui fuit,
Quicunque hoc opus inseruit clypeo,
Typhœum emittentem ignivomum per os
Fumum nigrum, velocem ignis fratrem:
Sed serpentum gyris rotunda area
Capacis [concavi] circuli clypeum ambientis instrata est.
Ipse autem acclamabat, et Martis numine afflatus,
Bacchatur ad pugnam, Thyados instar, terrorem oculis incutiens.
Talis viri conatus caute observandi.
Quippe jam ad portas terrorem jactationibus minatur.
ETE. Primum quidem Onca Pallas, suburbana
Portis vicina, viri odio habens contumeliam,
Arcebit ut a pullis draconem perniciosum:
Hyperbius autem prudens Œnopis filius,
Vir virum contra electus est, volens
Experiundo cognoscere fatum in periculo fortunæ;
Neque forma, nec animo, nec armorum apparatu
Culpandus: Mercurius vero convenienter alterum cum altero composuit.
Inimicus enim vir viro huic constituetur:
Conferent autem adversarios in clypeis
Deos. etenim ille ignivomum Typhœum habet;

Ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
Ὅς τις τόδ' ἔργον ὤπασε πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα
Λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
Ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
Προσηδάφισται κοιλογάστορος κύκλου.
Αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
Βακχᾷ πρὸς ἀλκὴν, θυιὰς ὣς, φόβον βλέπων.
Τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον.
Φόβον γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.
Ἐτ. Πρῶτον μὲν Ὄγκα Παλλὰς, ἥτ' ἀγχίπτολις,
Πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν,
Εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δὲ, κεδνὸς Οἴνοπος τόκος
Ἀνὴρ κατ' ἄνδρα τοῦτον ἡρέθη, θέλων
Ἐξιστορῆσαι μοῖραν ἐν χρείᾳ τύχης·
Οὔτ' εἶδος, οὔτε θυμὸν, οὐδ' ὅπλων σχέσιν
Μωμητός· Ἑρμῆς δ' εὐλόγως ξυνήγαγεν.
Ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται·
Ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
Θεούς. Ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει·
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
Σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων·
Κοὔπω τις εἶδε Ζῆνά που νικώμενον.
Τοιάδε μέντοι προσφίλεια δαιμόνων.

Πρὸς τῶν κρατούντων δ᾽ ἐσμὲν, οἱ δ᾽ ἡσσημένων,
Εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ.
Εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ᾽ ἀντιστάτας
Ὑπερβίῳ τε, πρὸς λόγον τοῦ σήματος,
Σωτὴρ γένοιτ᾽ ἂν Ζεὺς ἐπ᾽ ἀσπίδος τυχών.
Χο. Πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ᾽ ἀντ. β΄.
Ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
Δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
Δαροβίοισι θεοῖσι, πρόσθε πυ-
λᾶν κεφαλὰν ἰάψειν.
Ἀγ. Οὕτως γένοιτο. Τὸν δὲ πέμπτον αὖ λέγω
Πέμπταισι προσταχθέντα Βοῤῥείαις πύλαις
Τύμβον κατ᾽ αὐτὸν διογενοῦς Ἀμφίονος.
Ὄμνυσι δ᾽ αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ
Σέβειν πεποιθὼς, ὀμμάτων θ᾽ ὑπέρτερον,
Ἦ μὴν λαπάξειν ἄστυ Καδμείων, βίᾳ
Διός. Τόδ᾽ αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
Βλάστημα καλλίπρωρον, ἀνδρόπαις ἀνήρ.
Στείχει δ᾽ ἴουλος ἄρτι διὰ παρηΐδων
Ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
Ὁ δ᾽ ὠμὸν, οὔτι παρθένων ἐπώνυμον
Φρόνημα, γοργὸν δ᾽ ὄμμ᾽ ἔχων προσίσταται.
Οὐ μὴν ἀκόμπαστός γ᾽ ἐφίσταται πύλαις.
Τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
Σάκει, κυκλωτῷ σώματος προβλήματι,

Hyperbio vero Jupiter in parma pater
Stator sedet, in manu telum ardens: [ignitum telum jaciens]
Nec unquam vidit quisquam Jovem victum ullibi.
Talis scilicet est istorum deorum amicitia.
Sed cum victoribus nos sumus, illi cum victis,
Siquidem Jupiter Typhoëo in pugna superior est.
Credibile igitur est hoc modo illos adversarios rem gesturos
Hyperbio etiam, ratione insignis,
Servator erit Jupiter qui in clypeo est.

CHO. Confidi eum, qui Jovi adversarium habet, [*antistrophe* 2.
Et invisum in scuto terra-obruti dei corpus gerit,
Inimicum simulachrum mortalibus
Longævisque diis, ante portam
Caput confracturum.

NUN. Ita fiat. rursus quintum dico
Constitutum ad quintam borealem portam,
Juxta ipsum sepulchrum Jovigenæ Amphionis.
Jurat vero per hastam, quam habet, eam magis quam
Deum venerare confidens [audens,] oculisque chariorem,
Se perditurum urbem Cadmæorum, vel invito
Jove. hoc clamat monticola ex matre
Germen pulchriforme, virilis puer.
Et jam inserpit lanugo per malas
Crescentis pubertatis, densus exoriens pilus.
Ipse vero sævam, nec virginali nomini congruam
Mentem, trucemque oculum habens adstat.

Non tamen sine jactatione portis imminet.
Urbis enim nostræ probrum, in ærato
Scuto, rotundo corporis munimento,
Sphingem crudivoram affixam
Clavis portabat, splendidum horrendum corpus:
Quin subter ipsam fert hominem e Cadmæis unum,
Ut plurima in virum hunc conjiciantur tela.
Cum venerit vero, videtur non cauponaturus pugnam,
Nec longi itineris dedecoraturus viam
Parthenopæus Arcas: vir talis,
Advena, Argis rependens gratiam nutriciam,
Turribus hisce minatur, quæ non perficiat deus.
ETE. Quod si consequantur, quæ cogitant, a diis
Cum ipsis hisce impiis jactationibus,
Funditus et pessime pereant.
Est autem adversus hunc quem dicis Arcada,
Vir minime jactabundus, at manus novit exsequi,
Actor, illius frater quem modo diximus,
Qui non sinet linguam absque aggere
Intra portas fluentem augere mala,
Neque intrare eum qui feræ, inimicissimæ beluæ,
Imaginem fert hostili in clypeo.
Ab extra intus (*se*) ferentem (*ipsa*) objurgabit,
Crebros assequuta ictus sub urbem.
Volentibus Diis hæc ego vera pronuntiem.
CHO. Sermo (*hic*) pectus penetrat, [*strophe* 3.

Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην
Γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας·
Φέρει δ' ὑφ' αὐτῇ φῶτα Καδμείων ἕνα,
Ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
Ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
Μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον
Παρθενοπαῖος Ἀρκάς· ὁ δὲ τοιόσδ' ἀνὴρ,
Μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφὰς,
Πύργοις ἀπειλεῖ τοῖσδ', ἃ μὴ κραίνοι θεός.
Ἐτ. Εἰ γὰρ τύχοιεν, ὧν φρονοῦσι, πρὸς θεῶν
Αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν,
Ἦ τ' ἂν πανώλεις παγκακῶς τ' ὀλοίατο.
Ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
Ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου
Ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
Ἔσω πυλῶν ῥέουσαν, ἀλδαίνειν κακὰ,
Οὐδ' εἰσαμεῖψαι θηρὸς, ἐχθίστου δάκους,
Εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος.
Ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται,
Πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
Θεῶν θελόντων δῆτ' ἂν ἀληθεύσαιμ' ἐγώ.
Χο. Ἱκνεῖται λόγος διὰ στηθέων στρ. γ'.
Τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται,
Μεγάλα μεγαληγόρων κλύων ἀνο-
σίων ἀνδρων. Εἴθε γὰρ θεοὶ

Τούσδ' ὀλέσειαν ἐν γᾳ̃.
Ἀγ. Ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστερον
Ἀλκήν τ' ἄριστον, μάντιν, Ἀμφιάρεω βίαν.
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
Κακοῖσι βάζει πολλὰ Τυδέως βίαν
Τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
Μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐριννύος κλητῆρα, πρόσπολον φόνου
Κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·
Καὶ τὸν σὸν αὖθις πρόσμορον ἀδελφεὸν
Ἐξυπτιάζων ὄνομα, Πολυνείκους βίαν,
Δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος
Καλεῖ, λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα·
Ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς
Καλόν τ' ἀκοῦσαι καὶ λέγειν· μεθυστέροις,
Πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
Πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα;
Μητρὸς δὲ πηγὴν τίς κατασβέσει δίκη;
Πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
Ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;
Ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα
Μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.
Μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον.
Τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκυκλον νέμων
Πάγχαλκον ηὔδα. Σῆμα δ' οὐκ ἐπῆν κύκλῳ·
Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,

Stant arrectæ comæ,
Auditis magnis [conviciis] superbiloquentium
Impiorum hominum ; utinam dii
Hos perdant in terra.
NUN. Sextum dicam virum modestiorem [quam illos]
Fortissimumque, Amphiaraum vatem.
Qui ad portas Homoloides constitutus,
Probris insequitur multum Tydea,
Illum homicidam, illum urbis turbatorem (*vocans*)
Maximum Argivis malorum magistrum,
Erinnyos præconem, ministrum cædis,
Horumque malorum Adrasto consultorem :
Tuumque rursus fatalem fratrem
Polynicem ex ipso nomine interpretatus, [resupinans]
Bis in extremâ parte nomen dividens
Vocat, hoc vero dicit ex ore verbum :
Profecto tale facinus et diis gratum,
Pulchrumque auditu et dictu posteris,
Urbem paternam et deos indigenas
Vastare, inducendo aciem exteram !
Matrisque fontem quodnam jus exsiccabit ?
Patriaque terra tua a cupiditate hasta
Subacta quomodo amica tibi fuerit ?
Ego vero hoc impinguabo solum
Vates hostili sub terra conditus.
Pugnemus, non inglorium spero lethum.

Talia vates, clypeum rotundum movens
Ex ære solido, dixit. insigne vero non inerat orbi [clypei :]
Non enim optimus videri, sed esse volet,
Profundo mentis sulco fruens,
Ex quo modesta germinant consilia.
Adversus hunc sapientes et probos adversarios
Ut mittas saudeo. timendus est qui deos colit.

ETE. Proh alitem (*auspicium*) qui consociavit mortalibus
Virum justum impiissimis !
At in omni negotio malo consortio
Pejus est nihil, fructus non congerendus,
Ager nequitiæ mortem pro fructu fert.
Nam si vel navem conscenderit pius vir
Cum nautis improbis, et nequitiâ aliquâ,
Perit cum genere hominum diis inviso :
Vel si quis justus sit cum civibus
Inhospitalibusque et deorum immemoribus,
Cum in eundem divinitus inciderit (*obsidionis*) cassem,
Communi dei flagello percussus perit.
Sed iste Vates (dico Œclei filium)
Prudens, justus, probus, pius vir,
Magnus propheta, mistus impiis
Audaciloquis viris, invito animo,
Contendunt longo itinere reverti,
Jove volente, una deorsum trahetur.
Arbitror igitur ipsum ne quidem invasurum portas,

Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
Τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
Πέμπειν ἐπαινῶ. Δεινὸς ὃς θεοὺς σέβει.

Ἐτ. Φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
Δίκαιον ἄνδρα τοῖσι δυσσεβεστάτοις.
Ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
Κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος,
Ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.
Ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
Ναύτῃσι θερμοῖς, καὶ πανουργίᾳ τινὶ,
Ὄλωλεν ἀνδρῶν ξὺν θεοπτύστῳ γένει·
Ἢ ξυμπολίταις ἀνδράσιν, δίκαιος ὢν,
Ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσι,
Ταυτοῦ κυρήσας ἐνδίκως ἀγρεύματος,
Πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ 'δάμη.
Οὗτος δ' ὁ μάντις, υἱὸν Ὀϊκλέους λέγω,
Σώφρων, δίκαιος, ἀγαθὸς, εὐσεβὴς ἀνὴρ,
Μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
Θρασυστόμοισιν ἀνδράσι, φρενῶν βίᾳ,
Τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος, ξυγκαθελκυσθήσεται.
Δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
Οὐχ ὡς ἄθυμον, οὐδὲ λήματος κάκῃ·
Ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,
Εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου.

Φιλεῖ δὲ σιγᾷν, ἢ λέγειν τὰ καίρια.
Ὅμως δ' ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν,
Ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
Γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φέρει,
Ποδῶκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται
Παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
Θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

Χο. Κλύοντες θεοὶ δικαίας λιτὰς
Ἡμετέρας, τελεῖθ' ὡς πόλις εὐτυχῇ,
Δορίπονα κάκ' ἐκτρέποντες γᾶς ἐπι-
μόλους· πύργων δ' ἔκτοθεν βαλὼν
Ζεύς σφε κάνοι κεραυνῷ.

Αγ. Τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις
Λέξω, τὸν αὐτοῦ σοῦ κασίγνητον, πόλει
Οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας·
Πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ,
Ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας,
Σοὶ ξυμφέρεσθαι, καὶ κτανὼν θανεῖν πέλας,
Ἢ ζῶντ' ἀτιμαστῆρα τώς σ' ἀνδρηλάτην
Φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
Τοιαῦτ' ἀϋτεῖ, καὶ θεοὺς γενεθλίους
Καλεῖ πατρῴας γῆς, ἐποπτῆρας λιτῶν
Τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
Ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος,
Διπλοῦν τε σῆμα προσμεμηχανευμένον.
Χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν

Non quasi esset excors, nec indoles ignavia
At novit quod se oportet occumbere pugna,
Si oraculis Apollinis erit fructus [i. e. exitus]
Amat hic quidem tacere, vel tempestiva loqui.
Illi tamen virum Lasthenem,
Aversantem exteros, custodem portæ opponemus,
Senilem mentem, at corpus juvenile gerit,
Pernix (*ei*) oculus, neque manu cunctatur
A sinistro latere nudatam arripere hastam.
Dei vero est donum mortalibus feliciter agere.
CHO. Exaudientes dii justas preces [*antistropha*. 2.
Nostras, efficite ut feliciter agat civitas,
Hastis nocentia [i. e. bellica] mala hac avertentes terra in
Advenas, extra vero turres propulsam
Jupiter ipso fulmine perimat.
NUN. Nunc septimum qui ad portam est septimam
Dicam, illum fratrem tuum, (*et ostendam*) ubi
Qualia optat et imprecatur infortunia:
Ut turres ingressus, et rex huic terræ declaratus,
Pæana captivitatem celebrantem cum clamore canens,
Tecum congrediatur, et postquam occiderit, moriatur juxta,
Aut ut te viventem tam in se contumeliosum expulsorem
Exilio hoc eodem ulciscatur modo.
Talia vociferatur, et deos indigenas
Invocat paternæ terræ, ut spectatores precum
Suarum omnino sint, Polynices.

Scutum autem habet rotundum recenter fabricatum,
Et duplex artificiose affixum insigne.
Auro insignem hominem armatum
Ducit mulier quædam modeste præiens;
Justitia sane dicitur, sicut literæ
Referunt: (*aitque*) REDUCAM VIRUM HUNC, ET URBEM
HABEBIT PATERNARUMQUE ÆDIUM ALTERNAS VICES.
Talia sunt illorum inventa.
Ipse vero jam cogita quem mittendum putes:
Ut nunquam me ob ea quæ nuntio
Culpes, sed ipse vide quomodo gubernes urbem.
ETE. O divino instinctu furens et deorum ingens odium!
O perquam lachrymabile meum Œdipi genus!
Hei mihi! jam nunc imprecationes patris ratæ sunt.
Sed neque flere, nec lamentari decet,
Ne pariatur luctus intolerabilior.
Sed Polynici, recte ita nominato, dico:
Brevi videbimus insignia quo vertent;
Utrum illum reduxerint auro elaboratæ literæ
In clypeo effutientia cum rabie mentis.
Et si Jovis quidem filia virgo justitia adesset
Operibus ejus et menti, forsan hoc eveniret:
Sed neque ipsum cum effugisset a matris utero
Tenebras, neque in lactatu, neque pubescentem,
Neque in barbæ collectione lanuginis, [esse judicavit;]
Justitia vel aspectu dignata est; [aspexit, et eum dignum

Ἄγει γυνή τις σωφρόνως ἡγουμένη·
Δίκη δ᾽ ἄρ᾽ εἶναί φησιν, ὡς τὰ γράμματα
Λέγει· ΚΑΤΑΞΩ Τ᾽ ΑΝΔΡΑ ΤΟΝΔΕ, ΚΑΙ ΠΟΛΙΝ
ἝΞΕΙ, ΠΑΤΡΩΩΝ ΔΩΜΑΤΩΝ Τ᾽ ΕΠΙΣΤΡΟΦΑΣ.
Τοιαῦτ᾽ ἐκείνων ἐστὶ τἀξευρήματα.
Σὺ δ᾽ αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖς·
Ὡς οὔποτ᾽ ἀνδρὶ τῷδε κηρυκευμάτων
Μέμψῃ, σὺ δ᾽ αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.
Ἐτ. Ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
Ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·
Ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
Ἀλλ᾽ οὔτε κλάειν, οὔτ᾽ ὀδύρεσθαι πρέπει,
Μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.
Ἐπωνύμῳ δὲ κάρτα Πολυνείκει λέγω·
Τάχ᾽ εἰσόμεσθα τἀπίσημ᾽ ὅπῃ τελεῖ·
Εἴ νιν κατάξει χρυσότευκτα γράμματα
Ἐπ᾽ ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.
Εἰ δ᾽ ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
Ἔργοις ἐκείνου καὶ φρεσὶν, τάχ᾽ ἂν τόδ᾽ ἦν·
Ἀλλ᾽ οὔτε νιν φυγόντα μητρόθεν σκότον,
Οὔτ᾽ ἐν τροφαῖσιν, οὔτ᾽ ἐφηβήσαντά πω,
Οὔτ᾽ ἐν γενείου ξυλλογῇ τριχώματος,
Δίκη προσεῖδε καὶ κατηξιώσατο·
Οὐδ᾽ ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ

Οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας.
Ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
Τούτοις πεποιθὼς εἶμι, καὶ ξυστήσομαι
Αὐτός. τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
Ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις,
Ἐχθρὸς ξὺν ἐχθρῷ στήσομαι· φέρ' ὡς τάχος
Κνημῖδας, αἰχμὴν, καὶ πετρῶν προβλήματα.

ΕΤΕΟΚΛΗΣ. ΧΟΡΟΣ.

Χο. ΜΗ φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
Ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ·
Ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
Ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον·
Ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτόκτονος,
Οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.
Ἐτ. Εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ,
Ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσι.
Κακῶν δὲ καἰσχρῶν οὔ τιν' εὔκλειαν ἐρεῖς.
Χο. Τί μέμονας, τέκνον; μή τί σε θυμο-
πληθὴς δορίμαργος ἄτα φερέτω·
Κακοῦ δ' ἔκβαλ' ἔρωτος ἀρχάν.
Ἐτ. Ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεὸς,
Ἴτω κατ' οὖρον, κῦμα Κωκυτοῦ λαχὸν,
Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος.
Χο. Ὠμοδακής σ' ἄγαν θυμὸς ἐποτρύ-

Neque in paternæ terræ usurpatione iniqua
Puto ipsam ei prope adsistere.
Revera esset justissime falso nominata
Justitia, si a partibus staret viri audacissimæ mentis,
His fretus vadam, et cum eo congrediar
Ipse. quisnam alius magis idoneus?
Cum imperatore imperator, cum fratre frater,
Hostis cum hoste stabo; fer quam cito
Ocreas, hastam, et munimenta adversus lapides.

CHO. O charissime virorum nate Œdipi ne sis
Irâ similis ei qui pessime audit:
Sed viros Cadmæos cum Argivis sat est
Ad manus veniret; sanguis enim horum est expiabilis:
Fratrum autem uterinorum mutua cædes [si fiat,]
Nunquam profecto senescet hoc piaculum.

ETE. Si quis malum ferat sine dedecore,
Esto; solum enim lucrum in mortuis.
At malorum et turpium nullam dices gloriam.

CHO. Quid insanivisti fili? ne te irarum plena [*strophe* 1.
Hasta furens noxa abripiat:
Mali vero amoris abjice exordium.

ETE. Quando ad hoc negotium valde instigat deus,
Eat secundo vento fluctum Cocyti assequutum
Phœbo invisum omne Laii genus.

CHO. Acerba nimis te ira instigat [*antistrophe* 1.

Acerbum fructu patrare homicidium
Sanguinis illiciti.

ETE. Etenim mihi inimica chari patris perfica
Execratio siccis inflebilibus oculis assidet,
Dicens mihi mortis subsequentis lucrum prius.

CHO. Sed tu ne incitere: non vocabere timidus [*strophe* 2.
Si vitam honeste servaveris: atram procellam ciens
Non ingreditur Erinnys domum (*illius*,) neque ex manibus
Dii sacrificium accipient.

ETE. Diis quidem etiamnum neglecti sumus:
Gratia vero mortis nostræ in pretio est.
Quid ergo adhuc perniciosam adulemur necem?

CHO. Imo nunc cum tibi adstat; quoniam genius [*antist*. 2.
Voluntatis mutatione diuturna reconciliandus,
Forsan veniet leniori
Spiritu, adhuc vero fervet.

ETE. Etenim efferbuerunt Œdipi imprecationes:
Nimisque vera in somno phantasmatum
Visa, paternas facultates dividentia.

CHO. Mulieribus, licet non eas ames, obtempera.

ETE. Dicite igitur quæ perfici possint; neque longe oportet.

CHO. Ne hac via ad septimam portam exeas.

ETE. Acutum non me sermone obtundes.

CHO. Victoriam equidem licet ingloriam honorat deus.

ETE. Non decet virum armatum hunc sermonem comprobare.

CHO. Sed num tu fraternum cupis profundere sanguinem?

νει πικρόκαρπον ἀνδροκτασίαν
Τελεῖν αἵματος οὐ θεμιστοῦ.
Ἐτ. Φίλου γὰρ ἐχθρά μοι πατρὸς τέλει᾽ ἀρὰ
Ξηροῖς ἀκλαύστοις ὄμμασι προσιζάνει,
Λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.
Χο. Ἀλλὰ σὺ μὴ ᾽ποτρύνου, κακὸς οὐ κεκλή-
ση βίον εὖ κυρήσας· μελαναιγὶς δ᾽ οὐκ
Εἶσι δόμους Ἐριννὺς, οὗτ᾽ ἂν ἐκ χερῶν
Θεοὶ θυσίαν δέχωνται.
Ἐτ. Θεοῖς μὲν ἤδη πως παρημελήμεθα·
Χάρις δ᾽ ἀφ᾽ ἡμῶν ὀλομένων θαυμάζεται.
Τί οὖν ἔτ᾽ ἂν σαίνοιμεν ὀλέθριον μόρον;
Χο. Νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων,
Λήματος ἀντροπαίᾳ χρονίᾳ μεταλ-
λακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ
Πνεύματι· νῦν δ᾽ ἔτι ζεῖ.
Ἐτ. Ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα·
Ἄγαν δ᾽ ἀληθεῖς φασμάτων ἐνυπνίων
Ὄψεις, πατρῴων χρημάτων δατήριοι.
Χο. Πείθου γυναιξὶ, καίπερ οὐ στέργων ὅμως.
Ἐτ. Λέγοιτ᾽ ἂν ὧν ἄνη τις, οὐδὲ χρὴ μακράν.
Χο. Μὴ ᾽λθῃς ὁδοὺς σὺ τάσδ᾽ ἐφ᾽ ἑβδόμαις πύλαις.
Ἐτ. Τεθηγμένον τοί μ᾽ οὐκ ἀπαμβλυνεῖς λόγῳ.
Χο. Νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.
Ἐτ. Οὐκ ἄνδρ᾽ ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.
Χο. Ἀλλ᾽ αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;

Ἐτ. Θεῶν διδόντων, οὐκ ἂν ἐκφύγοι κακά.

ΧΟΡΟΣ.

ΠΕΦΡΙΚΑ τὰν ὠλεσίοικον στρ. α'.
Θεὸν, οὐ θεοῖς ὁμοίαν,
Παναληθῆ, κακόμαντιν,
Πατρὸς εὐκταίαν Ἐριννὺν
Τελέσαι τὰς περιθύμους
Κατάρας βλαψίφρονος Οἰδιπόδα·
Παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει.
Ξένος δὲ κλήρους ἐπινωμᾷ ἀντ. α'.
Χάλυβος, Σκυθῶν ἄποικος,
Κτεάνων χρηματοδαίτας
Πικρὸς, ὠμόφρων σίδαρος,
Χθόνα ναίειν διαπήλας,
Ὁπόσαν ἂν καὶ φθιμένους κατέχειν,
Τῶν μεγάλων πεδίων ἀμοίρους.
Ἐπειδὰν αὐτοκτόνως στρ. β'.
Αὐτοδάϊκτοι θάνωσι,
Καὶ χθονία κόνις πίῃ
Μελαμπαγὲς αἷμα φοίνιον,
Τίς ἂν καθαρμοὺς πόροι,
Τίς ἄν σφε λούσειεν;
Ὦ πόνοι δόμων νέοι
Παλαιοῖς ξυμμιγεῖς κακοῖς.
Παλαιγενῆ γὰρ λέγω ἀντ. β'.

ETE. Diis concedentibus haud effugiet mala.

CHO. Horrui domum perdentem [*strophe* 1.
Deam, diis neutiquam similem,
Veracissimam, mala præsagientem,
Erinnyn a patre invocatam
Perfecturam iracundas
Execrationes vesani Œdipodis:
Filios-perdens Contentio hæc urget.
Peregrinus vero sortes versat [*antistrophe* 1.
Chalybs, Scytharum colonus,
Possessionum divisor
Acerbus, crudelis ferreus gladius,
Tantum terræ ad incolendum sortito impartiens,
Quantum, cùm occiderint, occupare possint,
Magnorum agrorum expertes.
Quod si fratres isti mutua cæde [*strophe* 2.
A se invicem perempti occubuerint,
Terreusque pulvis biberit
Nigrum ex cæde cruenta sanguinem,
Quis expiationes præbeat?
Quis ipsos lavet?
O novi labores domus
Antiquis malis commisti!
Antiquam enim dico [*antistrophe* 2.
Transgressionem cito-punitam:

Ætatem vero usque ad tertiam manet,
Quando Laius, Apolline
Invito, qui ter dixerat, in
Umbilicariis Pythicis
Oraculis, quod, si moreretur
Sine liberis, servaret urbem:
Victus vero amicorum malis consiliis, [*strophe* 3.
Genuit sibimet interitum,
Parricidam Œdipum,
Qui matris incestum
Seminare arvum, ubi nutritus fuerat,
Radicem sanguineam,
Sustinuit. Amentia conjunxit
Conjuges amentes.
Malorum autem velut mare fluctum volvit; [*antistrophe* 3.
Hic quidem cadit, alius vero exsurgit
Trifidus, qui etiam circa proram
Urbis cachinnat.
Interea præsidio brevi
Extenduntur mœnia in latitudine.
Vereor itaque ne cum regibus
Pereat civitas.
Adimpletæ enim sunt olim prolatæ execrationes, [*strophe* 4.
Difficilis [inter fratres] reconciliatio
Pernicies semel orta non præterit.
Jacturam autem e puppi factam fert

Παραιβασίαν ὠκύποινον·
Αἰῶνα δ' ἐς τρίτον μένει,
Ἀπόλλωνος εὖτε Λάϊος
Βίᾳ, τρὶς εἰπόντος ἐν
Μεσομφάλοις πυθικοῖς
Χρηστηρίοις, θνάσκοντα
Γέννας ἄτερ, σώζειν πόλιν·
Κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις, στρ. γ'.
Ἐγείνατο μὲν μόρον αὐτῷ,
Πατροκτόνον Οἰδιπόδαν,
Ὅστε μὴ πρὸς ἁγνὰν
Σπείρας ἄρουραν, ἵν' ἐτράφη,
Ῥίζαν αἱματόεσσαν
Ἔτλα. παράνοια σύναγε
Νυμφίους φρενώλεις·
Κακῶν δ', ὥσπερ θάλασσα, κῦμ' ἄγει· ἀντ. γ'.
Τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
Τρίχαλον, ὃ καὶ περὶ πρύμναν
Πόλεως καχλάζει.
Μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου
Τείνει πύργος ἐν εὔρει.
Δέδοικα δὲ σὺν βασιλεῦσι
Μὴ πόλις δαμασθῇ.
Τέλειαι γὰρ παλαίφατοι ἀραὶ, στρ. δ'.
Βαρεῖαι καταλλαγαὶ,
Τὰ δ' ὀλοὰ πελλόμεν' οὐ παρέρχεται.

Πρόπρυμνα δ' ἐκβολὰν φέρει
Ἀνδρῶν ἀλφηστᾶν
Ὄλβος ἄγαν παχυνθείς.
Τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν ἀντ. δ'.
Θεοὶ, καὶ ξυνέστιοι
Πόλεως, πουλύβοτός τ' αἰὼν βροτῶν,
Ὅσον τότ' Οἰδίπουν τίον,
Ἀναρπαξάνδραν
Κῆρ' ἀφελόντα χώρας;
Ἐπεὶ δ' ἀρτίφρων στρ. ε'.
Ἐγένετο μέλεος ἀθλίων
Γάμων, ἐπ' ἄλγει δυσφορῶν,
Μαινομένα κραδίᾳ
Δίδυμα κακ' ἀπετέλεσσε
Πατροφόνῳ χερί· τῶν
Κρεισσοτέκνων δ' ὀμμάτων ἐπλάγχθη.
Τέκνοις δ' ἀραίας ἀντ. ε'.
Ἐφῆκεν, ἐπίκοτος τροφᾶς,
Αἶ, Αἶ, πικρογλώσσους ἀρὰς,
Καί σφε σιδαρονόμῳ
Διαχειρίᾳ ποτὲ λαχεῖν
Κτήματα· νῦν δὲ τρέω
Μὴ τελέσῃ καμψίπους Ἐριννύς.

ΑΓΓΕΛΟΣ. ΧΟΡΟΣ.

Αγ. ΘΑΡΣΕΙΤΕ παῖδες μητέρων τεθραμμέναι.

Virorum solertium
Felicitas nimis coacervata.
Quem enim virorum tantum admirati sunt [*antist*. 4.
Dii, et incolæ urbis,
Et opulenta ætas mortalium,
Quantum tunc Œdipum honorarunt,
Qui hominum rapacem
Feram e regione sustulerat?
Postquam vero miser conscius factus [*strophe* 5.
Fuit infelicium
Nuptiarum, præ dolore ægre ferens,
Vesanienti corde
Gemina perpetravit mala
Parricida manu,
Ab oculis potentiorum filiorum se subduxit.
Filiis vero diras [*antistrophe* 5.
Imprecatus est, iratus ob educationem,
(Heu heu diras ab acerba lingua profectas!)
(*Et precatus est*) ut per ferrum distribuente
Administratione sortirentur
Possessiones: nunc autem tremo
Ne hæc perficiat pedes mobilis [pernix] Erinnys.
NUN. Confidite filiæ matrum alumnæ.
Effugit hæc civitas servile jugum:
Ceciderunt virorum ferocientium jactationes
Urbs vero in tranquillo est, et fluctum

Crebris ictibus aquam non admittit, [non submersa est.]
Sustinuere [hostium impetum] turres et portas idoneis [qui fidem in iis positam non fefellerunt.]
Munivimus duellicis propugnatoribus.
Bene habent plurima in sex portis quidem;
Septimam vero reverendus septimæ (*diei*) præfectus
Rex Apollo occupavit, Œdipi generi
Perficiens [ad exitum perducens] antiquam Laii imprudentiam.

CHO. Quidnam hoc novi est quod urbi accidit?

NUN. Servata est civitas, reges vero una sati
Viri occubuerunt invicem a suis manibus.

CHO. Quinam? quid dixti? verbi dementor metu.

NUN. Mentis compos nunc audito, Œdipi genus——

CHO. Me miseram! vates sum malorum.

NUN. Neque vero dubium est, eos in pulvere volutatos esse.

CHO. Eone venerunt? gravia igitur, dicas tamen.

NUN. Ita fraternis manibus interfecti sunt atrociter.

CHO. Sic fatum commune arat ambobus simul.

NUN. Illud revera miserum sustulit genus.
Hisce lætari et lacrymari præsto est:
Quod civitas quidem feliciter agat, (*lætari, lachrymari*
Vero) quod præfecti gemini duces sortiti sunt
Scythico ferro malleo ducto possessionum totam hæreditatem.
Possidebunt vero quam accipient in sepulchro terram,

Πόλις πέφευγεν ἥδε δούλειον ζυγόν·
Πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα·
Πόλις δ' ἐν εὐδίᾳ τε, καὶ κλυδωνίου
Πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
Στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
Ἐφραξάμεσθα μονομάχοισι προστάταις·
Καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι·
Τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
Ἄναξ Ἀπόλλων εἷλετ', Οἰδίπου γένει
Κραίνων παλαιὰς Λαΐου δυσβουλίας.
Χο. Τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν;
Ἀγ. Πόλις σέσωσται, βασιλέες δ' ὁμόσποροι
Ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.
Χο. Τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.
Ἀγ. Φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος . . . .
Χο. Οἲ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.
Ἀγ. Οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.
Χο. Ἐκεῖθι κ' ἦλθον; βαρέα δ' οὖν, ὅμως φράσον.
Ἀγ. Οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.
Χο. Οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.
Ἀγ. Αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
Τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
Πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
Δισσὼ στρατηγὼ, διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
Ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς,

Πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
Πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
Πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

ΧΟΡΟΣ.

Ω ΜΕΓΑΛΕ Ζεῦ καὶ πολιοῦχοι
Δαίμονες, οἳ δὴ Κάδμου πύργους
Τούσδε ῥύεσθε·
Πότερον χαίρω, κἀπολολύξω
Πόλεως ἀσινεῖ σωτῆρι,
Ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
Ἀτέκνους κλαύσω πολεμάρχας;
Οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
Καὶ πολυνεικεῖς
Ὤλοντ' ἀσεβεῖ διανοίᾳ.
Ὦ μέλαινα καὶ τελεία στροφή.
Γένεος, Οἰδίπου τ' ἀρὰ,
Κακόν με καρδίᾳ τι περιπιτνεῖ κρύος·
Ἔτευξα τύμβῳ μέλος
Ὡς θυιὰς, αἱματοσταγεῖς
Νεκροὺς κλύουσα δυσμόρως
Θανόντας. ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.
Ἐξέπραξεν, οὐδ' ἀπεῖπε ἀντις.
Πατρόθεν εὐκταία φάτις·
Βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.

Patris secundum vota infelicia subrepti.
Servata est civitas : regum vero congenerum
Bibit cruorem terra mutuo cæsorum.

CHO. O magne Jupiter et urbicustodes
Dii, qui has Cadmi arces
Defenditis :
Utrum gaudeam et hymnum canam
Urbis servatori, qui eam incolumem præstitit, [damnum avertenti]
An miseros atque infelices
Sine liberis (*mortuos*) deflebo duces?
Qui recte secundum nominis omen
Et contentionum studiosi
Perierunt impio consilio.
O atra et perfica [*strophe*.
Generis Œdipi imprecatio,
Malus aliquis cor meum occupat rigor:
Lugubre carmen feci tumulo
Velut Thyas, sanguinem stillantes
Mortuos ut audii infeliciter
Morientes. Certe infausto omine
Hic congressus hastæ factus est.
Effectum habuit, nec defecit [*antistrophe*.
Vox patris diras continens :
Consiliaque infida Laii penitus sufficerunt.

At sollicitudo circa urbem
Et oracula non retusa sunt. [haud vana fuerunt.]
Heu ærumnabiles hoc patrastis incredibile;
Advenerunt deflendæ
Calamitates non verbo (*sed revera.*)
Hæc enim ex se apparent, manifestus est nuntii sermo.
Curæ duplices, duorum virorum
Mala et mutua homicidia, duplicia,
Perfectæ hæc calamitates. quid dicam?
Quid aliud nisi labores laborum
Domorum harum sunt incolæ.
Sed querelarum, o amicæ, secundum auram
Excitate [impellite] circa caput manuum strepitum
Funus comitantem, qui semper per Acherontem deducit
Infaustam nigra habentem vela cymbam,
In illam non calcatam Apolline, solis expertem,
Omnium (*hominum*) capacem, tenebricosam Orci regionem.
Verum adveniunt in hoc negotium
Acerbum, Antigone et Ismene;
Lamentationem fratribus, non dubie
Arbitror ipsas ex profundis amabilibus
Pectoribus missuras dolorem dignum.
Æquum autem est ut nos priusquam illæ vociferentur
Et lugubriter sonantem hymnum Erinnyos
Resonemus, Orcoque
Ingratam pæana occinamus.

Μέριμνα δ' ἀμφὶ πτόλιν,
Καὶ θέσφατ' οὐκ ἀμβλύνεται.
Ἰὼ πολύστονοι τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.
Τάδ' αὐτόδηλα, προῦπτος ἀγγέλου λόγος. μονοστρ.
Διπλαῖ μέριμναι, διδυμάνορα
Κάκ', αὐτοφόνα, δίμοιρα,
Τέλεια τάδε πάθη. τί φῶ;
Τί δ' ἄλλο γ' ἢ πόνοι πόνων,
Δόμων ἐφέστιοι.
Ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον
Ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
Πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
Τὰν ἄστολον, μελάγκροκον θεωρίδα,
Τὰν ἀστιβῆ Ἀπόλλωνι, τὰν ἀνάλιον,
Πάνδοκον, εἰς ἀφανῆ τε χέρσον.
Ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
Πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη·
Θρῆνον ἀδελφοῖν οὐκ ἀμφιβόλως
Οἶμαι σφ' ἐρατῶν ἐκ βαθυκόλπων
Στηθέων ἥσειν, ἄλγος ἐπάξιον.
Ἡμᾶς δὲ δίκη πρότερον φήμης
Τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
Ἰαχεῖν, Ἀΐδα τ'
Ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.

ΧΟΡΟΣ. ΑΝΤΙΓΟΝΗ. ΙΣΜΗΝΗ.
ʽΗΜΙΧΟΡΟΣ.

ΙΩ δυσαδελφόταται πασῶν, ὁπόσαι
Στρόφον ἐσθῆσιν περιβάλλονται,
Κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
Μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.
ʽΗμ. Ἰὼ ἰὼ δύσφρονες,
Φίλων ἄπιστοι, καὶ κακῶν ἀτρύμονες,
Πατρῴους δόμους ἑλόν-
τες μέλεοι σὺν αἰχμᾷ.
ʽΗμ. Μέλεοι δῆθ', οἳ μελέους θανάτους
Εὕροντο δόμων ἐπὶ λύμᾳ.
ʽΗμ. Ἰὼ ἰὼ δωμάτων
Ἐρειψίτοιχοι, καὶ πικρὰς μοναρχίας
Ἰδόντες, ἤδη διήλ-
λαχθε σιδάρῳ,
Οὐκ ἐπὶ φιλίᾳ,
Ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε·
Κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα κατεύγματα
Πότνι' Ἐριννὺς ἐπέκρανε.
ʽΗμ. Δι' εὐωνύμων τετυμμένοι . . . .
ʽΗμ. Τετυμμένοι δῆθ', ὁμο-
σπλάγχνων τε πλευρωμάτων.
ʽΗμ. Αἶ αἶ δαιμόνιοι,
Αἶ αἶ δ' ἀντιφόνων

SEM. Heu omnium infelicissimæ sorores, quotquot
Zonam vestibus circumjiciunt!
Fleo, gemo, et dolus nullus
Quin ex animo sincera ejulem.

SEM. Heu heu insani,
Amicis non obsequentes, et malis indomiti,
Paternas domos
Obtinere volentes miseri ferro.

SEM. Miseri prorsus qui miserum lethum
Invenerunt domus in perniciem.

SEM. Heu heu domuum
Eversores mœnium, et acerbas monarchias
Qui videbatis, jam litem
Diremistis cum ferro,
Non jam amplius de benevolentia,
Sed de cæde decertastis:
Veras admodum patris Œdipi diras
Perfecit veneranda Erinnys.

SEM. Per sinistra icti.

SEM. Icti sane, et
Consanguinea latera.

SEM. Heu heu infelices,
Heu heu mutuorum
Lethorum imprecationes.

SEM. Plagam dicis penitus perforantem.

SEM. Et ædibus et corporibus
Percussos dico.
SEM. Infando furore
Maledictoque a patre
Fato ex contentione orto.
SEM. Percurrit vero et urbem
Luctus, lugent turres.
Luget vero viros amans regio.
Manebuntque possessiones nepotibus,
Propter quas infelicibus
Propter quas dissidium erat,
Et mortis exitus.
Partiti autem sunt feroces
Possessiones, ut æqua pars utrique cederet;
Sed neque reconciliatori defuit reprehensio ab amicis,
Neque bellum gratum fuit.
SEM. Ferro percussi quidem ita se habent.
SEM. Ferro percussæ et istos manent,
Dicat aliquis, quænam?
Tumulorum paternorum sortitiones.
SEM. Ex domo validum sonum in ipsos
Emittit lacerans animum luctus, proprio
Dolore gemens, propriam calamitatem reputans,
Corpori infesta, non amans lætitiam, vere
Lachrymas fundens ex animo, quæ

Θανάτων ἀραί.
'Ημ. Διανταίαν λέγεις πλαγάν.
'Ημ. Δόμοισι καὶ σώμασι
Πεπλαγμένους ἐννέπω.
'Ημ. Ἀναυδάτῳ μένει
Ἀραίῳ τ' ἐκ πατρὸς
Διχόφρονι πότμῳ.
'Ημ. Διήκει δὲ καὶ πόλιν
Στόνος, στένουσι πύργοι,
Στένει πέδον φίλανδρον·
Μενεῖ κτέανά τ' ἐπιγόνοις,
Δι' ὧν αἰνομόροις
Δι' ὧν νεῖκος ἔβα,
Καὶ θανάτου τέλος.
Ἐμοιράσαντο δ' ὀξυκάρδιοι
Κτήμαθ', ὥστ' ἴσον λαχεῖν·
Διαλλακτῆρι δ' οὐκ ἀμεμφία φίλοις,
Οὐδ' ἐπίχαρις Ἄρης.
'Ημ. Σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσι.
'Ημ. Σιδαρόπλακτοι δὲ τοὺς μένουσι,
Τάχ' ἄν τις εἴποι, τίνες;
Τάφων πατρῴων λάχαι.
'Ημ. Δόμων μάλ' ἀχὼ 'π' αὐτοὺς
Προπέμπει δαϊκτὴρ γόος,
Αὐτόστονος, αὐτοπήμων,
Δαΐφρων, οὐ φιλογαθὴς,

Δακρυχέων ἐκ φρενὸς, ἃ,
Κλαιομένας μου, μινύθει,
Τοῖνδε δυεῖν ἀνάκτοιν.
Πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν
Ὡς ἐρξάτην
Πολλὰ μὲν πολίτας,
Ξένων δὲ πάντων στίχας
Πολυφθόρους ἐν δαΐδι.
Ἡμ. Δυσδαίμων σφὶν ἁ τεκοῦσα
Πρὸ πασῶν γυναικῶν,
Ὁπόσαι τεκνογόνοι κέκληνται.
Παῖδα τὸν αὑτᾶς πόσιν αὑτᾷ θεμένα,
Τούσδ' ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύτασαν ὑπ' ἀλ-
λαλοφόνοις χερσὶν ὁμοσπόροισιν.
Ἡμ. Ὁμόσποροι δὲ καὶ πανώλεθροι
Διατομαῖς οὐ φίλαις,
Ἔριδι μαινομένᾳ,
Νείκεος ἐν τελευτᾷ.
Πέπαυται δ' ἔχθος,
Ἐν δὲ γαίᾳ ζωὰ
Φονοῤῥύτῳ μέμικται·
Κάρτα δ' εἴσ' ὅμαιμοι.
Ἡμ. Πικρὸς λυτὴρ νεικέων ὁ πόντιος
Ξεῖνος ἐκ πυρὸς συθεὶς
Θηκτὸς σίδαρος·
Πικρὸς δὲ χρημάτων κακὸς

Mihi flenti minuitur,
Ob hosce duos reges.
Fas vero est dicere de
Miseris, quod fecerint
Multa mala civibus,
Et exterorum omnium turmis
Multum perientibus in bello.

SEM. Infelix quæ eos peperit
Præ omnibus fœminis,
Quotcunque proliferæ dictæ sunt.
Filium proprium in maritum sibi concilians,
Hos peperit, hi vero in hunc modum occubuerunt,
Manibus consanguineis mutuo cædentibus.

SEM. Consanguineæ quidem sed et exitiosæ
Conscissionibus inamabilibus,
Contentione furenti
In exitu litis.
Cessat vero inimicitia,
Inque terra vita
Sanguiflua commiscetur;
Plane sunt consanguinei.

SEM. Acerbus contentionum arbiter transmarinus
Peregrinus ex igne profectus,
Acutum ferrum: acerbus vero
Facultatum malus

Distributor Mars, execrationem
Patris ratam faciens.

SEM. Habent partem quam sortiti sunt, o miseri,
A Jove missorum malorum:
Et subter corpus terræ
Divitiæ inexhaustæ erunt.

SEM. Heu multis abundantes
Cladibus ædes:
Postremo vociferatæ sunt
Diræ acuta voce carmen,
Eversi effusissimæ
Fuga generis (*Œdipi.*)
Erexitque noxæ
Trophæum ante portas
A quibus cædebantur, et cum utrumque devicerat,
Quievit Deus.

ANT. Percussus percussisti.

ISM. Occidens occidisti

ANT. Hasta peremisti.

ISM. Hasta periisti.

ANT. Miseranda machinatus.

ISM. Miseranda passus.

ANT. Meent luctus.

ISM. Meet lachrymæ.

ANT. Procumbet (*ante ædes*) qui peremit.
Heu heu insanit præ luctu mens.

Δατητὰς Ἄρης, ἀρὰν
Πατρὸς τιθεὶς ἀληθῆ.
Ἡμ. Ἔχουσι μοῖραν λαχόντες,
Ὦ μέλεοι, διοσδότων ἀχέων·
Ὑπὸ δὲ σώματι γᾶς
Πλοῦτος ἄβυσσος ἔσται.
Ἡμ. Ἰὼ πολλοῖς ἐπανθήσαν-
τες πόνοισί γε δόμοι
Τελευταῖ δ' αἵδ' ἐπηλάλαξαν
Ἀραὶ τὸν ὀξὺν νόμον,
Τετραμμένου παντρόπῳ
Φυγᾷ γένευς.
Ἕστακε δ' Ἄτας
Τρόπαιον ἐν πύλαις,
Ἐν αἷς ἐθείνοντο, καὶ δυοῖν κρατήσας
Ἔληξ' ὁ δαίμων.
Ἀν. Παισθεὶς ἔπαισας.
Ἰσ. Σὺ δ' ἔθανες κατακτανών.
Ἀν. Δορὶ δ' ἔκτανες.
Ἰσ. Δορὶ δ' ἔθανες.
Ἀν. Μελεόπονος.
Ἰσ. Μελεοπαθής.
Ἀν. Ἴτω γόος.
Ἰσ. Ἴτω δάκρυα.
Ἀν. Προκείσεται κατακτάς·
Ἠὲ ἠὲ, μαίνεται γόοισι φρήν.

'Ισ. 'Εντὸς δὲ καρδία στένει.
'Αν. 'Ιὼ ἰὼ πολυδάκρυτε σύ.
'Ισ. Σὺ δ' αὖτε καὶ πανάθλιε.
'Αν. Πρὸς φίλου γ' ἔφθισο.
'Ισ. Καὶ φίλον ἔκτανες.
'Αν. Διπλᾶ λέγειν.
'Ισ. Διπλᾶ δ' ὁρᾶν.
'Αν. 'Αχέων τοίων τάδ' ἐγγύθεν.
'Ισ. Πέλας δ' ἀδελφῶν αἵδ' ἀδελφεαί.
'Αν. 'Ιὼ Μοῖρα βαρυδότειρα μογερὰ,
Πότνιά τ' Οἰδίπου σκιὰ,
Μέλαινά τ' 'Ερινὺς, ἦ μεγασθενής τις εἶ.
'Ισ. 'Ηὲ ἠὲ, δυσθέατα πήματ' ἐ-
δείξατ' ἐκ φυγᾶς ἐμοί.
'Αν. Οὐδ' ἵκεθ' ὡς κατέκτανε.
'Ισ. Σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.
'Αν. 'Απώλεσε δῆτα.
'Ισ. Καὶ τὸ τοῦδ' ἐνόσφισε.
'Αν. Τάλαν γένος.
'Ισ. Τάλανα παθὸν
Δύστονα κήδε' ὁμώνυμα.
'Αν. Δίυγρα τριπάλτων πημάτων.
'Ισ. 'Ολοὰ λέγειν.
'Αν. 'Ολοὰ δ' ὁρᾶν.
'Ιὼ μοῖρα βαρυδότειρα μογερὰ,
Πότνιά τ' Οἰδίπου σκιὰ,

ISM. Intus vero cor ingemiscit.

ANT. Heu heu tu multis lachrymis flende.

ISM. Tu rursus et miserrime.

ANT. Ab amico occisus es.

ISM. Et amicum occidisti.

ANT. Gemina loqui. ISM. Gemina et videre.

ANT. Talibus doloribus nos propinquæ sumus.

ISM. Sororesque prope fratres.

ANT. Heu parca luctifera infelix,
Et veneranda Œdipi umbra,
Nigraque Erinnys certe valde-potens es.

ISM. Heu heu tristes visu calamitates
Monstravit post exilium mihi.

ANT. Nec tamen advenit [i. e. rediit] postquam eum peremit.

ISM. Et qui salvus erat spiritum perdidit.

ANT. Perdidit quidem. ISM. Et hujus spiritum eripuit.

ANT. Miserum genus. ISM. Miseros et passus est
Luctuosus dolores nomini suo congruentes.

ANT. Madentia vehementissimis malis.

ISM. Perniciosa dictu. ANT. Perniciosa visu.
Heu Parca luctifera infelix,
Et veneranda Œdipi umbra,
Nigraque Erinnys, certe valde-potens es.
Tu nempe trajiciens [i. e. huc proficiscens] intellexisti.

ISM. At tu [Eteocles] nihilo serius didicisti.

ANT. Postquam ad urbem pervenimus.
ISM. Huic cum hasta oppositus.
ANT. Perniciosa dictu.
ISM. Perniciosa visu.
ANT. Proh dolor qui nobis adest.
ISM. Proh mala et
Domui et telluri, et præ omnibus mihi.
ANT. Heu heu et mihi prius.
ISM. Heu miserandorum malorum
Author rex Eteocles.
ANT. O omnium maxime lugendi.
ISM. O furentes in calamitate.
ANT. Heu qua illos terræ parte ponemus?
ISM. Heu ea quæ maxime honorifica.
ANT. Heu malum juxta patrem accubiturum.

PR. Promulgare me oportet consulta et decreta
Populi consiliariis hujus Cadmeæ urbis:
Eteoclem quidem hunc ob benevolentiam erga
Solum inhumare decretum est amicis terræ fossis;
Exosus enim hostes, mortem tulit pro urbe;
Sacrorumque patriorum purus existens absque culpa
Oppetiit, ubi juvenibus pulchrum est mori.
Sic quidem quod ad eum spectat mandatum est
Dicere. Illius vero fratrem hunc Polynicis cadaver

Μέλαινά τ' Ἐρινὺς, ἦ μεγασθενής τις εἶ.
Σὺ τοίνυν οἶσθα διαπερῶν.
'Ισ. Σὺ δ' οὐδὲν ὕστερον μαθών.
'Αν. Ἐπεὶ κατῆλθες ἐς πόλιν.
'Ισ. Δορός γε τῷδ' ἀντηρέτας.
'Αν. Ὀλοὰ λέγειν.
'Ισ. Ὀλοὰ δ' ὁρᾷν.
'Αν. Ἰὼ πόνος.
'Ισ. Ἰὼ ἰὼ κακὰ
Δώμασι, καὶ χθονὶ, πρὸ πάντων δ' ἐμοί.
'Αν. Ἰὼ ἰὼ, καὶ πρόσω γ' ἐμοί.
'Ισ. Ἰὼ δυστόνων κακῶν, ἄναξ
Ἐτεόκλεις, ἀρχηγέτα.
'Αν. Ἰὼ πάντων πολυπονώτατοι.
'Ισ. Ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.
'Αν. Ἰὼ ἰὼ, ποῦ σφε θήσομεν χθονός;
'Ισ. Ἰὼ, ὅπου τιμιώτατον.
'Αν. Ἰὼ ἰὼ, πῆμα πατρὶ πάρευνον.

ΧΟΡΟΣ. ΑΝΤΙΓΟΝΗ. ΙΣΜΗΝΗ. ΚΗΡΥΞ.

ΚΗΡΥΞ.

ΔΟΚΟΥΝΤΑ καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
Δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
Θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
Στυγῶν γὰρ ἐχθροὺς, θάνατον εἵλετ' ἐν πόλει·

Ἱερῶν πατρῴων δ᾽ ὅσιος ὢν μομφῆς ἄτερ
Τέθνηκεν, οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
Οὕτω μὲν ἀμφὶ τοῦδ᾽ ἐπέσταλται λέγειν.
Τούτου δ᾽ ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
Ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσὶν,
Ὡς ὄντ᾽ ἀναστατῆρα Καδμείας χθονὸς,
Εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
Τῷ τοῦδ᾽. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
Θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε,
Στράτευμ᾽ ἐπακτὸν ἐμβαλὼν, ᾕρει πόλιν.
Οὕτω πετεινῶν τόνδ᾽ ὑπ᾽ οἰωνῶν δοκεῖ
Ταφέντ᾽ ἀτίμως, τοὐπιτίμιον λαβεῖν·
Καὶ μήθ᾽ ὁμαρτεῖν τυμβοχόα χειρώματα,
Μήτ᾽ ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
Εἶναι δ᾽ ἄτιμον ἐκφορᾶς φίλων ὕπο.
Τοιαῦτ᾽ ἔδοξε τῷδε Καδμείων τέλει.
Ἀν. Ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
Ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
Ἐγώ σφε θάψω, κἀνὰ κίνδυνον βαλῶ,
Θάψασ᾽ ἀδελφὸν τὸν ἐμὸν, οὐδ᾽ αἰσχύνομαι
Ἔχουσ᾽ ἄπιστον τήνδ᾽ ἀναρχίαν πόλει.
Δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
Μητρὸς ταλαίνης, κἀπὸ δυστήνου πατρός.
Τοιγὰρ θέλουσ᾽ ἄκοντι κοινώνει κακῶν
Ψυχὴ, θανόντι ζῶσα, συγγόνῳ φρενί.
Τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες

Foras ejicere inhumatum, prædam canibus,
Tanquam destructorem Cadmeæ terræ,
Nisi deorum aliquis obstitisset hastæ
Ipsius. piaculum et mortuus possidebit
Deorum patriorum, quos ille inhonorans,
Exercitum peregrinum admovens urbem capturus fuit.
Sic volitantibus a alitibus visum est
Sepultus inhonore, mercedem ut accipiat; et neque
Eum comitentur officia ad tumultum effundarum libationum,
Neque quisquam eum honoret cantilenis lamentatoriis,
Sed ut infamis ne ab amicis quidem efferatur.
Talia sunt a Cadmeorum magistratu decreta.

ANT. Ego vero Cadmeorum præfectis dico,
Si nullus alius huncce sepelire voluerit,
Ego ipsum inhumabo, et me in discrimen conjiciam,
Sepeliendo fratrem hunc meum, nec me pudebit
Præbere inobedientem hanc anarchiam urbi.
Magnam vim habent communia viscera, quibus
Nati sumus, matris miseræ, et infelicis patris.
Quare volens, ô anima, cum invito,
Viva cum mortuo, particeps esto mali mente congeneri.
Hujusce carnes neutiquam voraces
Lupi discerpent; ne ita videatur alicui.
Tumulum enim ipsi et fossas ego,

Quamvis fœmina sim, huic fabricabo,
In sinu ferens pepli byssini,
Et ipsa obtegam; ne quis contra sentiat:
Confide, aderit efficax solertia.

PR. Dico, urbem ne tu his violes.

ANT. Dico, mihi ne tu superflua prædices.

PR. Asper quidem populus cum effugerit mala.

ANT. Exaspera et tu, inhumatus vero ille non erit.

PR. Sed quem odio habet civitas tune honorabis tumulo?

ANT. Nondum hic a Diis dehonestatus est.

PR. Non, priusquam terram hanc in periculum conjecerit.

ANT. Male tractatus mala rependit.

PR. Verum in omnes pro uno hoc factum erat.

ANT. Contentio sermonem perficit ultima deorum.
Ego hunc sepeliam; ne sermones trahas.

PR. At scito tuis consiliis (*te hoc facturam*) ego autem renuncio.

SEM. Heu heu, o superbe exultantes et exitiales
Fatales Furiæ, quæ Œdipi
Genus adeo funditus perdidistis.

ANT. Quid patiar? quid agam? quid consilii capiam?
Quomodo sustinebo neque te flere,
Nec ad tumulum comitari?
Sed metuo et avertere cupio
Terrorem civium.

SEM. Tu quidem multos qui te flebunt

Λύκοι σπάσονται· μὴ δοκησάτω τινί.
Τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγὼ,
Γυνή περ οὖσα, τῷδε μηχανήσομαι,
Κόλπῳ φέρουσα βυσσίνου πεπλώματος,
Κ' αὐτὴ καλύψω· μηδέ τῳ δόξῃ πάλιν·
Θάρσει, παρέσται μηχανὴ δραστήριος.
Κή. Αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τόδε.
'Αν. Αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.
Κή. Τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.
'Αν. Τράχυν', ἄθαπτος οὗτος οὐ γενήσεται.
Κή. 'Αλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;
Αν. Ἤδη τὰ τοῦδ' οὐκ ἠτετίμηται θεοῖς.
Κή. Οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
'Αν. Παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.
Κή. 'Αλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.
'Αν. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
'Εγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
Κή. 'Αλλ' αὐτόβουλος ἴσθ'· ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ. ΙΣΜΗΝΗ.

'Ημ. ΦΕΥ φεῦ.
Ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες 'Ερινύες, αἵτ' Οἰδιπόδα
Γένος ὠλέσατε πρυμνόθεν οὕτως.
'Ισ. Τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
Πῶς τολμήσω μήτε σὲ κλάειν,

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΔΙΑ ΠΕΡΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΟΡΟΣ.

ΑΤΟΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΔΑΡΕΙΟΥ ΕΙΔΩΛΟΝ.

ΞΕΡΞΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΟΡΟΣ.

ΑΤΟΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΔΑΡΕΙΟΥ ΕΙΔΩΛΟΝ.

ΞΕΡΞΗΣ.

PERSÆ.

CHORUS.

Nos quidem Persarum profectorum
In Græciam dicimur fiduciarii,
Et divitum auroque abundantum
Sedium custodes, quos præ senectute
Ipse rex Xerxes imperator
Dario genitus
Elegit ad inspectandum [curam tutelamque gerendam] regnum.
Verum de reditu regis
Exercitusque auro divitis
Male præsagiens valde tumultuatur
Intus animus.
Rober enim omne Asiaticum
Abiit: at juvenem virum clamore poscit (*Asia.*)

ΑΙΣΧΥΛΟΥ ΠΕΡΣΑΙ.

ΧΟΡΟΣ.

ΤΑΔΕ μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ᾽ ἐς αἶαν πιστὰ καλεῖται,
Καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
Ἑδράνων φύλακες, κατὰ πρεσβείαν·
Οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
Εἵλετο χώρας ἐφορεύειν.
Ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
Καὶ πολυχρύσου στρατιᾶς ἤδη
Κακόμαντις ἄγαν ὀρσολοπεῖται
Θυμὸς ἔσωθεν.
Πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
Οἴχωκεν· νέον δ᾽ ἄνδρα βαΰζει.
Κοὔτε τις ἄγγελος, οὔτε τις ἱππεὺς

Ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
Οἵτε τὸ Σούσων, ἠδ᾽ Ἀγβατάνων,
Καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος
Προλιπόντες ἔβαν, οἱ μὲν ἐφ᾽ ἵππων,
Οἱ δ᾽ ἐπὶ ναῶν, πεζοί τε βάδην
Πολέμου στῖφος παρέχοντες·
Οἷος Ἀμίστρης, ἠδ᾽ Ἀρταφρένης,
Καὶ Μεγαβάζης, ἠδ᾽ Ἀστάσπης,
Ταγοὶ Περσῶν,
Βασιλῆς βασιλέως ὕποχοι μεγάλου
Σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
Τοξοδάμαντές τ᾽ ἠδ᾽ ἱπποβάται,
Φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην,
Ψυχῆς εὐτλήμονι δόξῃ.
Ἀρτεμβάρης θ᾽ ἱππιοχάρμης,
Καὶ Μασίστρης, ὅ τε τοξοδάμας
Ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ᾽,
Ἵππων τ᾽ ἐλατὴρ Σωσθάνης.
Ἄλλους δ᾽ ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτιογενής,
Ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
Μέγας Ἀρσάμης, τάς τ᾽ ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
Καὶ ἑλειοβάται ναῶν ἐρέται
Δεινοί, πλῆθός τ᾽ ἀνάριθμοι.

Et neque ullus nuntius, nec eques ullus
Urbem hanc Persarum adit:
Quique, Susis et Ecbatanis
Et antiqua Cissina arce
Relictis, profecti sunt, partim equis,
Partim navibus, pedites pedetentim
Belli molem præbentes:
Qualis Amistres, atque Artaphrenes
Et Megabazes atque Astaspes,
Persarum duces,
Reges regi magno subditi
Ruunt, aciei numerosæ præfecti,
Arcu interficientes ac equites,
Terribiles quidem visu, atroces vero pugna
Obfirmato animi proposito.
Artembaresque equis gaudens
Et Masistres, arcuque domans
Strenuus Imæus, Pharandacesque,
Et equorum-agitator Sosthenes.
Alios vero magnus et multa alens
Nilus misit: Susiscanes,
Pegastagon Ægypto natus,
Et qui sacræ Memphidi præest
Magnus Arsames, quique antiquas
Thebas regit Ariomardus,
Et paludicolæ navium remiges

Periti, multitudoque innumera.
Molliter-degentium sequitur Lydorum
Turba, et qui plane in continente genitam
Obtinent gentem, illis Metragathes
Et Arceus bonus, regii præfecti,
Et divites Sardes vectos
Multis curribus emittunt,
Quadrijuges et sejuges ordines,
Visu terribile spectaculum.
Instant vero sacri Tmoli vicini
Jugum servile injicere Græciæ,
Mardon, Tharybis, hasta indefatigabiles,
Et jaculatores Mysi: Babylon vero
Auro dives miscellaneam turbam
Mittit impetuose, et navibus vectos
Atque arcum trahendi arte confisos.
Ensiferque populus ex omni
Sequitur Asia,
Timendo regis edicto.
Talis flos virorum Persicæ
Terræ proficiscitur.
Quos omnis tellus Asiatica,
Cum aluerit, flagrante desiderio gemit:
Parentes et uxores per singulos dies numeratim
Ad protractum tempus contremiscunt.
Jam quidem transiit captor urbium [*strophe.*

Ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
Ὄχλος, οἵ τε ἐπίπαν ἠπειρογενὲς
Κατέχουσιν ἔθνος, τοὺς Μιτραγαθὴς
Ἀρκεύς τ' ἀγαθὸς, βασιλῆς δίοποι,
Καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
Ἅρμασι πολλοῖς ἐξορμῶσιν,
Δίῤῥυμά τε καὶ τρίῤῥυμα τέλη,
Φοβερὰν ὄψιν προσιδέσθαι.
Στεῦνται δ' ἱεροῦ Τμώλου πελάται
Ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
Καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ'
Ἡ πολύχρυσος πάμμικτον ὄχλον
Πέμπει σύρδην, ναῶν τ' ἐπόχους
Καὶ τοξουλκῷ λήματι πιστούς.
Τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
Δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
Τοιόνδ' ἄνθος Περσίδος αἴης
Οἴχεται ἀνδρῶν.
Οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις
Θρέψασα, πόθῳ στένεται μαλερῷ·
Τοκέες τ' ἄλοχοί θ' ἡμερόλεγδον
Τείνοντα χρόνον τρομέονται.
Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη ςροφή.
Βασίλειος στρατὸς εἰς ἀντίπορον

Γείτονα χώραν,
Λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
Πολύγομφον ὅδισμα
Ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.
Πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων ἀντις.
Ἐπὶ πᾶσαν χθόνα ποιμανόριον
Θεῖον ἐλαύνει
Διχόθεν, πεζονόμοις, ἔκ τε θαλάσσης
Ὀχυροῖσι πεποιθὼς
Στυφελοῖς ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.
Κυάνεον δ' ὄμμασι λεύσσων μονόστρ.
Φονίου δέργμα δράκοντος,
Πολύχειρ, καὶ πολυναύτης,
Σύριόν θ' ἅρμα διώκων,
Ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον ἄρην.
Δόκιμος δ' οὔ τις ὑποστὰς
Μεγάλῳ ῥεύματι φωτῶν,
Ἐχυροῖς ἕρκεσιν εἴργειν
Ἄμαχον κῦμα θαλάσσης.
Ἀπρόσοιστος γὰρ ὁ Περσῶν
Στρατὸς, ἀλκίφρων τε λαός.
Δολόμητιν δ' ἀπάταν θεοῦ
Τίς ἀνὴρ θνατὸς ἀλύξει;

Regius exercitus in
Oppositam vicinam regionem,
Funibus vincta rate
Fretum trajiciens
Athamantidis Helles,
Cum pontem multis clavis firmatum
(*Veluti*) jugum injecisset cervici maris.
Populosæ Asiæ bellicosus princeps [*antistrophe.*
In omnem terram gregem
Divinum (*immensum*) agit
Bifariam, terrestribus
Et maritimis (*copiis*)
Firmis confisus
Asperis ducibus,
Aurigenæ stirpis deo æqualis vir.
Verum ceruleum oculis referens
Aspectum trucis draconis,
Magna manu et numerosa classe (*instructus*)
Syriumque currum impellens,
Adducit in hastis nobiles viros
Arcu domantem Martem.
Neque quisquam expectandus qui possit obsistere
Ingenti virorum torrenti,
Et munimentis firmis propellere
Inexpugnabilem fluctum maris.
Non sustinendus enim Persarum

Exercitus, magnanimusque populus.
Dolosam vero fraudem dei
Quis vir mortalis evitabit?
Quis cito saltu pedis,
Agilis exiliat?
Benevolens enim blandiens
Primum, inducit
Mortalem in laqueos
Unde non datur homini
Evitando effugere.
Divinitus enim imperavit [*strophe* 1.
Fatum jamdudum,
Persis autem in animum induxit
Bella turribus infesta
Administrare, et tumultum equis gaudentem [prœlium equestre,]
Urbiumque eversiones.
Didicerunt vero vasti [*antistrophe* 1.
Ponti, albicantis
Flamine rapido,
Aspicere marinum pratum,
Freti tenuiter-textis rudentibus,
Et populum-transfretantibus machinis.
Propter hæc mens mihi [*strophe* 2.
Lugubris metu vellicatur, [pungitur]
Heu Persici hujus exercitus,

Τίς ὁ κραιπνῷ ποδὶ πηδή-
ματος εὐπετέος ἀνάσσων;
Φιλόφρων γὰρ σαίνου-
σα τὸ πρῶτον, παράγει
Βροτὸν εἰς ἀρκύστατα,
Τόθεν οὐκ ἔστιν ὑπὲρ θνα-
τὸν ἀλύξαντα φυγεῖν.
Θεόθεν γὰρ κατὰ μοῖρ' στρ. α'.
Ἐκράτησεν τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις
Πολέμους πυργοδαΐκτους
Διέπειν, ἱππιοχάρμας
Τε κλόνους, πόλεών τ' ἀναστάσεις.
Ἔμαθον δ' εὐρυπόροι- ἀντιστρ. α'.
ο θαλάσσας πολιαι-
νομένας πνεύματι λάβρῳ
Ἐσορᾷν πόντιον ἄλσος,
Πίσυνοι λεπτοδόμοις πεί-
σμασι, λαοπόροις τε μηχαναῖς.
Ταῦτά μοι μελαγχίτων στρ. β'.
Φρὴν ἀμύσσεται φόβῳ,
Ὀὰ Περσικοῦ στρατεύματος
Τοῦδε, μὴ πόλις πύθη-
ται κένανδρον μέγ'
Ἄστυ Σουσίδος,
Καὶ τὸ Κίσσινον πόλισμ' ἀντιστρ. β'.

Ἀντίδουπον ἔσσεται.
Ὀὰ τοῦτ' ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων·
Βυσσίνοις δ' ἐν πέ-
πλοις πέσῃ λακίς.
Πᾶς γὰρ ἱππηλάτας *στρ. γ'.*
Καὶ πεδοστιβὴς λεὼς
Σμῆνος ὣς ἐκλέλοιπε
Μελισσᾶν, σὺν ὀρχάμῳ στρατοῦ,
Τὸν ἀμφίζευκτον ἐξα-
μείψας ἀμφοτέρας ἅλιον
Πρῶνα κοινὸν αἴας.
Λέκτρα δ' ἀνδρῶν πόθῳ *ἀντιςρ. γ'.*
Πίμπλαται δακρύμασι·
Περσίδες δ' ἀκροπενθεῖς,
Ἑκάστα πόθῳ φιλάνορι
Τὸν αἰχμάεντα θοῦρον
Εὐνατῆρα προπεμψαμένα
Λείπεται μονόζυξ.
Ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι *μονόςρ.*
Στέγος ἀρχαῖον,
Φροντίδα κεδνὴν καὶ βαθύβουλον
Θώμεθα, χρεία δὲ προσήκει,
Πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς,
Δαρειογενὴς, τὸ πατρωνύμιον
Γένος ἁμέτερον·

Ne qua intelligat civitas
Vacuam viris urbem
Magnam Susidis,
Et Urbs Cissina [*antistrophe* 2.
[Illi clamori] respondeat.
Heu! verbum isthoc, heu plena mulierum
Caterva ululans;
In byssinosque peplos
Cadat scissura.
Omnis enim equestris [*strophe* 3.
Et pedestris populus,
Examen veluti apum,
Reliquit urbem cum principe
Exercitus, utrinque-junctum
Trajiciens marinum
Promontorium, utrique commune continenti.
Lecti vero præ virorum desiderio [*antistrophe* 3.
Implentur lacrymis;
Persidesque impense tristes,
Unaquæque desiderio conjugali
Hastatum belli cupidum
Maritum cum dimisisset,
Relinquitur solitaria.
Sed agite Persæ sedentes
In hac antiqua domo,
Probam et profundi consilii curam

Geramus, exigit enim necessitas,
Quomodo rem gerit Xerxes rex,
Dario genitus,
Genus nostrum a patre nominatum:
Utrum arcûs vicerit tensio (scil. *Persæ*)
An ferro præfixi
Hastilis superaverit robur (scil. *Græci*)
Sed lumen deorum instar oculis
Prorumpit mater regis,
Regina vero mea, ad ejus genua accido.
Et salutatoriis oportet eam
Omnes verbis compellare.

CHO. O alte-cinctarum regina Persidum celsissima,
Mater Xerxis grandæva, salve Darii uxor,
(*Quæ*) et dei Persarum conjux, et dei mater extitisti,
Nisi forte vetus fortuna nunc exercitum deseruit.

AT. Propter hæc venio relicta domo auro-ornata,
Et Dario mihique communi thalamo: Et mihi
Cor vellicat [pungit] sollicitudo; vobis vero verba faciam
Non a meipsa existens impavida, amici,
[Sed metuo potius] ne magnæ divitiæ pulveris instar conspergentes pavimentum [i. e. festinantes] supplantent
Felicitatem, quam Darius intulit non sine aliquo numine.
Propterea est mihi duplex ineffabilis cura in mente,
Neque [quenquam] pecuniarum sine viris multitudinem
Prosequi honore neque pecunia-carentibus splendere lumen,

Πότερον τόξου ῥῦμα τὸ νικῶν,
  Ἢ δορυκράνου
Λόγχης ἰσχὺς κεκράτηκεν.
Ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
Φάος ὁρμᾶται μήτηρ βασιλέως,
Βασίλεια δ' ἐμὴ, τὴν προσπιτνῶ.
Καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
  Πάντας μύθοισι προσαυδᾷν.

ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

Χο. Ω ΒΑΘΥΖΩΝΩΝ ἄνασσα Περσίδων ὑπερτάτη,
Μῆτερ ἡ Ξέρξου γεραιὰ, χαῖρε Δαρείου γύναι,
Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
Εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατοῦ.
Ἄτ. Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
Καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον·
Καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
Μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
Μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀνατρέψῃ ποδὶ
Ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ,
Μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
Μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
Ἔστι γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
Ὄμμα γὰρ δόμων νομίζω, δεσπότου παρουσίαν.
Πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου

Τοῦδ' ἐμοὶ γίνεσθε, Πέρσαι, γηραλέα πιστώματα.
Πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βȣλεύματα.

Χο. Εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
Μήτ' ἔπος, μήτ' ἔργον, ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ.
Εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβȣλȣς καλεῖς.

Ατ. Πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
Ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
Ἰαόνων γῆν οἴχεται, πέρσαι θέλων·
Ἀλλ' οὔ τι πω τοιόνδ' ἐναργὲς εἰδόμην
Ὡς τῆς πάροιθεν εὐφρόνης· λέξω δέ σοι.
Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
Ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
Ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
Μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολὺ,
Κάλλει τ' ἀμώμω, καὶ κασιγνήτα γένους
Ταυτοῦ· πάτραν δ' ἔναιον, ἡ μὲν Ἑλλάδα
Κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
Τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾶν,
Τεύχειν ἐν ἀλλήλῃσι· παῖς δ' ἐμὸς μαθὼν
Κατεῖχε, κἀπραΰνεν, ἅρμασιν δ' ὕπο
Ζεύγνυσιν αὐτὼ, καὶ λέπαδν' ἐπ' αὐχένων
Τίθησι. Χ' ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ,
Ἐν ἡνίαισι δ' εἶχεν εὔαρκτον στόμα·
Ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου
Διασπαράσσει, καὶ ξυναρπάζει βίᾳ
Ἄνευ χαλινῶν, καὶ ζυγὸν θραύει μέσον.

Quantumcunque adsit robur. Sunt enim divitiæ
Quidem irreprehensibiles, circum oculos meos vero metus.
Oculum enim domus arbitror domini præsentiam.
Porro, his ita se habentibus, consultores hujus rei
Mihi sitis Persæ grandævi fiduciarii.
Cuncta enim proba in vobis sunt mihi consilia.

CHO. Hoc bene scias terræ hujus Regina, non te bis dicturam
Neque verbum neque opus quæ in nostra potestate sunt.
[quorum potestas præire solet.]
Benevolos enim nos in hisce rebus consiliarios vocas.

AT. Multis quidem nocturnis semper in somniis
Sum, ex quo filius meus adornato exercitu
Ionum terram abit, expugnare cupiens
Sed nunquam adeo evidens (*visum*) vidi
Quam nocte hesterna; tibi vero dicam.
Visæ mihi sunt duæ mulieres eleganter vestitæ,
Una quidem peplis ornata Persicis,
Altera rursus Doricis, in conspectum venire;
Et statura hodiernis multum augustiores,
Et forma inculpatæ, et germanæ generis
Ejusdem: patriam vero incoluerunt, hæc quidem
Græcam sorte assecuta terram, altera Barbaram.
Hæ litem quandam (ut visa sum videre)
Struere in se invicem: filius vero meus percipiens
Continuit, et mitigavit, curribusque
Subjungit ipsas, et collaria cervicibus

Imponit. Quarum una quidem superbiebat hoc
Ornatu, habenisque habuit os morigerum.
Sed altera pedes jactabat, manibusque fræna currus
Dilacerabat, et vi diripiebat,
Frænis excussis, mediumque jugum fregit.
Excidit autem meus filius, et adstabat pater
Darius miserens illius; hunc ut vidit
Xerxes, lacerabat circum corpus peplos.
Et hæc quidem noctu me vidisse dico.
Postquam vero surrexi, et manibus pulchrifluum
Tetigi fontem, cum sacrifica manu
Altari adstiti, averruncis diis
Quibus hæc sacra parari solent, oblatura libum.
Video vero aquilam fugientem ad aram
Phœbi, et præ timore steti muta, o amici,
Dein vero circum aspicio celeriter
Alis irruentem, et unguibus caput (*aquila*)
Vellicantem, hæc tamen nihil aliud quam perterrita
Corpus ei præbuit. Hæc mihi visu terribilia,
Vobis vero auditu: filius enim, ut bene nostis, meus
Feliciter quidem agens vir esset admirabilis;
Et si infeliciter egerit, non erit urbi obnoxius,
Quin salvus haud secus atque antea huic imperaverit regioni.
CHO. Nolumus te, o Mater, aut verbis terrere nimium, aut ob-
Deos vero supplicatonibus adiens, si quid mali [firmare:
Vidisti, posce horum aversionem peragere,

Πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφέ. τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
Καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
Ἐπεὶ δ' ἀνέστην, καὶ χεροῖν καλλιῤῥόου
Ἔψαυσα πηγῆς, ξὺν θυηπόλῳ χερὶ
Βωμῷ προσέστην, ἀποτρόποισι δαίμοσι
Θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
Ὁρῶ δὲ φεύγοντ' ἀετὸν πρὸς ἐσχάραν
Φοίϐου· φόϐῳ δ' ἄφθογγος ἐστάθην, φίλοι·
Μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
Πτεροῖς ἐφορμαίνοντα, καὶ χηλαῖς κάρα
Τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
Παρεῖχε. Ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν,
Ὑμῖν δ' ἀκούειν. Εὖ γὰρ ἴστε, παῖς ἐμὸς
Πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνήρ·
Κακῶς δὲ πράξας, οὐχ ὑπεύθυνος πόλει,
Σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

Χο. Οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοϐεῖν λόγοις,
Οὔτε θαρσύνειν· θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
Εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν τελεῖν,
Τὰ δ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν,
Καὶ πόλει, φίλοις τε πᾶσι. Δεύτερον δὲ χρὴ χοὰς
Γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ' αἰτοῦ τάδε
Σὸν πόσιν Δαρεῖον, ὅνπερ φὴς ἰδεῖν κατ' εὐφρόνην,
Ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος·

Τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχ' ἀμαυροῦσθαι σκότῳ.
Ταῦτα θυμόμαντις ὤν, σοὶ πρευμενῶς παρῄνεσα.
Εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
Ατ. Ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς,
Παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν·
Ἐκτελοῖτο δὴ τὰ χρηστά. Ταῦτα δ', ὡς ἐφίεσαι,
Πάντα θήσομεν θεοῖσι, τοῖς τ' ἔνερθε γῆς φίλοις,
Εὖτ' ἂν εἰς οἴκους μόλωμεν. Κεῖνα δ' ἐκμαθεῖν θέλω,
Ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.
Χο. Τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
Ατ. Ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.
Χο. Πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
Ατ. Ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
Χο. Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
Ατ. Καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
Χο. Ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
Ατ. Πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει;
Χο. Οὐδαμῶς· ἔγχη σταδαῖα, καὶ φεράσπιδες σαγαί.
Ατ. Τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ;
Χο. Οὔτινος δοῦλοι κέκληνται φωτὸς, οὐδ' ὑπήκοοι.
Ατ. Πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
Χο. Ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
Ατ. Δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.
Χο. Ἀλλ', ἐμοὶ δοκεῖν, τάχ' εἴσῃ πάντα νημερτῆ λόγον·
Τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
Καὶ φέρει σαφές τι πρᾶγος, ἐσθλὸν ἢ κακὸν κλύειν.

Quæ vero bona, ut compleantur tibi, et liberis tuis,
Urbique ac amicis omnibus. Tum secundo oportet
Inferias terræ et mortuis libare, placide vero hæc postules
Maritum tuum Darium, quem dicis te noctu vidisse:
Bona tibi filioque ab inferis in lucem mittere:
Contraria vero his terræ retenta tenebris obscurari.
Hæc animo præsagiens benevole tibi proposui;
Sed bene undequaque hæc tibi perficienda decernimus.

AT. Certe benignus primus horum interpres somniorum
Gnato et domibus meis hoc asseruisti verbum. Perficiantur
Quæ bona sunt: hæc autem, prout cupis, omnia
Faciemus diis, et amicis qui sub terra, quando ad
Ædes veniemus. Interim hæc ediscere velim,
O amici, ubinam terrarum Athenas sitas esse ferunt.

CHO. Procul ad occasum decessuum regis solis.

AT. Attamen desiderabat filius meus hanc capere urbem.

CHO. Immo omnis fiat Græcia regi subdita.

AT. Ita (*sit*) adestne illis copiosus exercitus?

CHO. Etiam ejusmodi exercitus qui multa dudum Medis mala [intulit.

AT. Hisne aliquid insuper, divitiæ sufficientes domi?

CHO. Argenti fons quidam est illis, terræ thesaurus.

AT. Utrumne illis in manu sagitta est arcum tendens?

CHO. Minime, sed hastæ firmæ, et clypeata armatura.

AT. Quis vero rex præest, et dominatur aci ei?

CHO. Nullius viri vocantur servi neque subditi.

AT. Quomodo igitur sustineant supervenientes hostes?

CHO. Ita ut Darii numerosam et pulchram aciem deleverint.

AT. Gravia dicis cogitatu parentibus eorum qui exierunt [ad bellum.]

CHO. Sed, ut mihi videtur, cito scies totam veram narrationem:
Hujus enim viri festinationem Persicam advertere decet,
Et fert manifestam rem aliquam auditu bonam aut malam.

NUN. O terræ totius Asiaticæ urbes,
O Persica tellus, ea ingens divitiarum portus!
Ut uno ictu corrumpitur ingens
Felicitas: flos vero Persarum caducus interiit.
Hei mihi, malum est primum nuntiare mala:
Necesse tamen et omnem explicare calamitatem
Persis, nam totus Barbarorum interiit exercitus.

CHO. Tristia, tristia mala, [*strophe* 1.
Recentia [recenti et inusitato furore sævientia] et hostilia,
Irrigemini (*lachrymis*) Persæ [heu heu!
Hunc audientes dolorem.

NUN. Ut scilicet illa omnia prorsus perierunt!
Et ego insperato lucem video reducem [reditûs diem.]

CHO. Longæva certe (*nobis*) [*antistrophe* 1.
Hæc vita visa est
Senibus, ad audiendum
Inopinatam hanc cladem.

NUN. Etenim præsens, et non verba aliorum audiens,
Persæ, dicerem qualia sint transacta mala.

CHO. Otototoi frustra [*strophe* 2.

ΑΓΓΕΛΟΣ. ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΑΓΓΕΛΟΣ.

Ω ΓΗΣ ἁπάσης Ἀσιάδος πολίσματα,
Ὦ Περσὶς αἶα, καὶ πολὺς πλούτου λιμὴν,
Ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
Ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
Ὤ μοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
Ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος
Πέρσαις. στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

Χο. Ἄνι', ἄνια κακὰ, στροφὴ α'.
Νεόκοτα, καὶ δάϊ', αἶ, αἶ.
Διαίνεσθε Πέρσαι
Τόδ' ἄχος κλύοντες.

Ἀγ. Ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα.
Καὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

Χο. Ἦ μακροβίοτος ἀντισ. α'.
Ὅδε γέ τις αἰὼν ἐφάνθη
Γεραιοῖς, ἀκούειν
Τόδε πῆμ' ἄελπτον.

Ἀγ. Καὶ μὴν παρών γε, κοὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν, οἷ' ἐπορσύνθη κακά.

Χο. Ὀττοττοτοῖ, μάταν σροφὴ β'.
Τὰ πολλὰ βέλεα παμμιγῆ
Γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
Δίαν, Ἑλλάδα χώραν.

Αγ. Πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ, πᾶς τε πρόσχωρος τόπος.
Χο. Ὀττοττοτοῖ, φίλων ἀντις. β'.
Ἁλίδονα σώματα πολυβαφῆ.
Κατθανόντα λέγεις φέρεσθαι
Πλαγκτοῖς ἐν διπλάκεσσιν.
Αγ. Οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
Στρατὸς, δαμασθεὶς ναΐησιν ἐμβολαῖς.
Χο. Ἴυζ' ἄποτμον βοὰν στροφὴ γ'.
Δυσαιανῆ Πέρσαις
Δαΐοις, ὡς πάντα παγκάκως
Ἔθεσαν, αἶ, αἶ, στρατοῦ φθαρέντος.
Αγ. Ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
Φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.
Χο. Στυγναί γ' Ἀθᾶναι δαΐοις· ἀντις. γ'.
Μεμνῆσθαί τοι πάρα
Ὡς πολλὰς Περσίδων μάταν
Ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους.
Ατ. Σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
Κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορὰ,
Τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι πάθη.
Ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν,
Θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
Λέξον καταστὰς, κεἰ στένεις κακοῖς ὅμως,
Τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
Τῶν ἀρχελείων, ὅς τ' ἐπὶ σκηπτουχίᾳ

Multa jacula omnifariam mixta
A terra Asiæ venerunt in terram
Græciæ, sacram [claram] regionem.
NUN. Plena sunt cadaverum infeliciter defunctorum
Salaminis littora, omnisque finitimus locus.
CHO. Otototoi amicorum [*antistrophe* 2.
Mari-agitata corpora multum-tincta [sæpe mersa]
Mortua dicis ferri
Super errabundas tabulas.
NUN. Nihil enim juverunt arcus; ast omnis periit
Exercitus domitus navium hostilium proræ impetu.
CHO. Emitte miserandum clamorem [*strophe* 3.
Lugubrem Persis pugnacibus,
Ut omnia pessime disposuerunt,
Heu! heu! exercitu deperdito.
NUN. O plurimum odium nomen Salaminis audire:
Heu quam gemo Athenarum memor.
CHO. Graves Athenæ hostibus: [*antistrophe* 3.
Meminisse licet quam multas
Persidum (*mulieres*) fecerunt frustra
Conjuges, et viris viduatas.
AT. Tacui diu infelix obstupefacta
Malis: tantum enim est hoc infortunium,
Ut neque loqui neque interrogare mala (*liceat*)
Attamen mortalibus necesse est ærumnas ferre diis
Inferentibus; quare universum explicans damnum

Dicito imperturbate, (licet simul defleas mala)
Quis non occubuit, quem lugebimus [imperio]
E populi principibus; quis ad sceptrum gerendum [in
Ordinatus vacuam viris aciem destituit moriens.
NUN. Xerxes quidem ipse vivit, et lucem videt.
AT. Næ meis domibus magnum dixisti lumen (*i. solamen*)
Et album [clarum] diem ex atra nocte.
NUN. Artembares quidem, decies millenorum equitum
Imperator, aspero in littore Sileniarum cæditur.
Et mille militum præfectus Dadaces ictu hastæ
Saltu levi navi desiliit
Tenagoque optimus Bactriorum indigena
Mari percussam insulam Ajacis colit.
Lilæus et Arsames Argestesque tertius
Apud Insulam columbas multas alentes
Devicti terram asperam percutiebant;
Prope fontem Ægyptii Nili habitans
Arcteus, Adena, et Pheresba tertius,
Pharnuchusque, hi ex una navi ceciderunt.
Aureus Matallus, myriadum præfectus,
Dux triginta millium equorum nigrorum, moriens
Rubram pilis refertam spissam [umbrosam] barbam
Infecit, colorem mutans tinctu purpureo [sanguinis.]
Et magus Arabus, Artamesque Bactrius,
Rigidæ terræ incola ibi interiit.
Amistris, et Amphistreus laboriosam hastam

Ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.
Αγ. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει.
Ατ. Ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα,
Καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.
Αγ. Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
Στυφλοὺς παρ᾽ ἀκτὰς θείνεται Σιληνίων·
Χὠ χιλίαρχος Δαδάκης, πληγῇ δορὸς,
Πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ᾽ ἄριστος Βακτρίων ἰθαγενὴς
Θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος, Ἀρσάμης τε κ᾽ Ἀργήστης τρίτος,
Οἵδ᾽ ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
Νικώμενοι ᾽κύρισσον ἰσχυρὰν χθόνα·
Πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεὺς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος,
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.
Χρυσεὺς, Μάταλλος μυριόνταρχος θανὼν,
Ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
Πυῤῥὰν ζαπληθῆ δάσκιον γενειάδα
Ἔτεγγ᾽, ἀμείβων χρῶτα πορφυρέᾳ βαφῇ.
Καὶ Μάγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος,
Σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμηστρις, Ἀμφιστρεύς τε πολύπονον δόρυ
Νωμῶν, ὅ τ᾽ ἐσθλὸς Ἀριόμαρδος Σάρδεσι
Πένθος παρασχὼν, Σησάμης θ᾽ ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν

Ταγὸς, γένος Λυρναῖος, εὐειδὴς ἀνὴρ,
Κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς.
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἔπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
Ἐχθροῖς παρασχὼν, εὐκλεῶς ἀπώλετο.
Τοιῶνδέ γ' ἀρχόντων ὑπεμνήσθην πέρι·
Πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.
Ἀτ. Αἶ αἶ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
Αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
Ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
Πόσον δὲ πλῆθος ἦν νεῶν Ἑλληνίδων,
Ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
Μάχην ξυνάψαι ναΐησιν ἐμβολαῖς;
Ἀγ. Πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους
Ναυσὶ κρατῆσαι. Καὶ γὰρ Ἕλλησιν μὲν ἦν
Ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
Νεῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν,
Ὧν ἦγε, πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει
Ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'. Ὧδ' ἔχει λόγος.
Μή σοι δοκῶμεν τῇδε λειφθῆναι μάχῃ·
Ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατὸν,
Τάλαντα βρίσας οὐκ ἰσοῤῥόπῳ τύχῃ.
Ἀτ. Θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.
Ἀγ. Ἔστ' ἄρ' Ἀθηνῶν, ἔστ' ἀπόρθητος πόλις.
Ἀνδρῶν γὰρ ὄντων, ἕρκος ἐστὶν ἀσφαλές.

Vibrans, et bonus Ariomardus Sardibus
Luctum præbens, Sisames Mysius,
Tharybisque quinquies quinquaginta navium
Dux, genere Lyrnæus, speciosus vir,
Jacet mortuus, miser, non admodum feliciter.
Syennesisque primus in magnanimitate
Cilicum imperator, unus vir laborem plurimum
Hostibus præbens, gloriose occubuit.
Horum ego jam ducum mentionem feci:
E multis vero præsentibus pauca annuncio mala.

AT. Heu, heu! malorum summa hæc audio;
Dedecora Persis et arguta lamenta.
Sed mihi hoc narra, denuo incipiens,
Quanta fuerit multitudo Græcarum navium
Ut sibi arrogarent Persico cum exercitu
Pugnam committere navium impressionibus [congressionibus.]

NUN. Quoad numerum quidem certo scias longe
Barbaros navibus superasse, nam Græcis fuit
Totus numerus ad decem triacades
Navium: præter has vero decem naves eximiæ erant.
Xerxi quidem (etenim novi) mille erant (*naves*)
Quibus præfuit, numero; præstantes celeritate
Bis centum erant et septem, sic res [sermo] se habet.
Num tibi videmur in hac pugna inferiores fuisse?
Sed ita Deus aliquis perdidit exercitum.
Lances onerans haud æquilibri fortuna.

AT. Dii tuentur urbem Minervæ deæ.
NUN. Est sane Athenarum, est urbs inexpugnabilis.
Nam viri cum sint, munimentum est tutum.
AT. Principium vero quodnam fuerit congressus navibus,
Dicito, quinam primi iniere pugnam, utrum Græci,
An filius meus elatus multitudine navium.
NUN. Initium, o domina, omni malo dedit
Apparens Alastor, aut malus alicunde genius.
Vir enim græcus ex Atheniensium exercitu
Veniens hæc dixit Xerxi filio tuo;
Quod, si venirent nigræ noctis tenebræ,
Græci non manerent, sed ad transtra
Navium irruentes, alius alia,
Occulta fuga vitam servare niterentur.
Ille simulac audiit, non intelligens fraudem
Græci viri, neque Deorum invidiam,
Omnibus propalat navarchis hunc sermonem:
Quando comburere radiis sol terram cessaverit,
Tenebræ vero templum ætheris occupaverint,
Ut ordinarent catervam navium agmine tripartito
Ad custodiendum egressus et freta maritima,
Alias vero in circulum (*disponerent*) Ajacis circum
Insulam. Ut si fatum malum Græci fugerint,
Navibus occulte fugam aliquam invenientes,
Omnibus [duobus] statutum esset capite puniri.
Talia dixit vehementer ex valde fidenti mente;

Ατ. Ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν φράσον,
Τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
Ἢ παῖς ἐμὸς, πλήθει καταυχήσας νεῶν.
Αγ. Ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
Φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
Ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
Ἐλθὼν, ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
Ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μένοιεν, ἀλλὰ σέλμασι
Νεῶν ἐπενθορόντες, ἄλλος ἄλλοσε
Δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσαίατο.
Ὁ δ᾽ εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς, οὐδὲ τὸν θεῶν φθόνον,
Πᾶσι προφωνεῖ τόνδε ναυάρχοις λόγον·
Εὖτ᾽ ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
Λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
Τάξαι νεῶν μὲν στῖφος ἐν στίχοις τρισὶν,
Ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιῤῥόθους,
Ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ,
Ὡς εἰ μόρον φευξοίαθ᾽ Ἕλληνες κακὸν,
Ναυσὶ κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
Πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
Τοιαῦτ᾽ ἔλεξε κάρθ᾽ ὑπ᾽ ἐκθύμου φρενός.
Οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
Οἱ δ᾽ οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
Δεῖπνόν τ᾽ ἐπορσύνοντο, ναυβάτης τ᾽ ἀνὴρ

Ἐτροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
Ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο,
Καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
Ἐς ναῦν ἐχώρει, πᾶς δ' ὅπλων ἐπιστάτης,
Τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς.
Πλέουσι δ', ὡς ἕκαστος ἦν τεταγμένος,
Καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
Νεῶν ἄνακτες πάντα ναυτικὸν λεών.
Καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
Κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο.
Ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
Πρῶτον μὲν ἠχοῖ κέλαδος Ἑλλήνων πάρα
Μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα
Ἀντηλάλαξε νησιώτιδος πέτρας
Ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
Γνώμης ἀποσφαλεῖσιν. Οὐ γὰρ ὡς φυγῇ
Παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
Σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
Εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
Ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
Θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
Τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας
Ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
Ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν

Nam haud sciebat quæ a diis futura.
Illi vero non incuriose, sed obsequenti animo
Cœnam pararunt, et navita quisque
Alligavit remum circum scalmum, remis aptum.
Postquam vero lux solis occidit,
Et nox supervenit, omnis remi moderator
In navem cessit, et omnis armorum sciens:
Ordo ordinem hortatur longæ navis,
Navigant vero ut erat ordinatus quisque, et per
Totam noctem, huc et illuc delatum disposuerunt,
Navium gubernatores totum nauticum populum.
Procedebat nox, et nihilo magis Græcorum exercitus
Egressum occultum ulla ex parte moliebatur.
Postquam vero dies, albis equis invecta,
Omnem occupavit visu lucida regionem;
Primo Echoi instar a Græcis clamor
Modulate fausta-ominatus est, et altissima voce simul
Reboabat insulanæ petræ
Echo; metus vero omnibus Barbaris aderat
A sententia delapsis: non enim quasi fugientes
Pæana canebant gravem tunc Græci,
Sed ad pugnam ruentes animosa audacia.
Tuba autem clangore ista omnia [omnem istum tumultum] accendebat:
Statim autem sonori remi percussione
Verberarunt salsuginem frementem ex celeusmate,
Repenteque omnes erant visu conspicui;

Dextrum quidem primum bene-ordinatum cornu
Ordine præibat, secundo vero tota classis
Subsequebatur, et (*tunc*) licuit simul audire
Hunc undique clamorem: O Græcorum filii, ite,
Liberate patriam, liberate
Liberos, uxores, deorum patriorum sedes
Ac sepulchra majorum: nunc pro omnibus certamen.
Quinetiam a nobis clamor Persicæ linguæ
Obviabat, et non amplius erat cunctandi tempus.
Continuo vero navis navi rostrum æreum
Impegit, conflictumque incepit Græca
Navis, et fregit omnia Phœnissæ navis
Aplustria, alius [gubernator] autem in alium direxit hastam [navem.]
Et primo quidem impetus Persici exercitus
Restitit: ut vero multitudo navium in angusto
Coacta est, auxiliumque nullum illis mutuo aderat,
Ipsi autem ab ipsis æreorum rostrorum concursibus
Feriebantur, et fregerunt omne classis remigium.
Græcæque naves non imperite
Circum circa percutiebant; resupinabantur
Carinæ navium, nec amplius mare videre licuit
Naufragiis impletum et cæde mortalium.
Littoraque et rupes cadaverum plenæ erant:
Cum fuga incomposite omnis remigabat navis,
Quæcunque erant ex Barbarorum exercitu. Illi
Autem tanquam thynnos aut prædam aliquem piscium

Πολλὴν βοήν· Ὦ παῖδες Ἑλλήνων ἴτε,
Ἐλευθεροῦτε πατρίδ᾽, ἐλευθεροῦτε δὲ
Παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
Θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
Καὶ μὴν παρ᾽ ἡμῶν Περσίδος γλώσσης ῥόθος
Ὑπηντίαζε, κοὐκέτ᾽ ἦν μέλλειν ἀκμή.
Εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
Ἔπαισεν· ἦρξε δ᾽ ἐμβολῆς Ἑλληνικὴ
Ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
Κόρυμβ᾽, ἐπ᾽ ἄλλην δ᾽ ἄλλος ἴθυνεν δόρυ.
Τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ
Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
Ἤθροιστ᾽, ἀρωγὴ δ᾽ οὔτις ἀλλήλοις παρῆν,
Αὐτοὶ δ᾽ ὑφ᾽ αὑτῶν ἐμβολαῖς χαλκοστόμοις
Παίοντ᾽, ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὴ
Σκάφη νεῶν, θάλασσα δ᾽ οὐκέτ᾽ ἦν ἰδεῖν
Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ᾽ ἐπλήθυον·
Φυγῇ δ᾽ ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
Ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος.
Τοὶ δ᾽ ὥστε θύννους ἤ τιν᾽ ἰχθύων βόλον
Ἀγαῖσι κωπῶν, θραύσμασίν τ᾽ ἐρειπίων
Ἔπαιον, ἐῤῥάχιζον, οἰμωγὴ δ᾽ ὁμοῦ
Κωκύμασιν κατεῖχε πελαγίαν ἅλα

Ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
Κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
Στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
Εὖ γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέρᾳ μιᾷ
Πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
Ατ. Αἶ αἶ, κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.
Αγ. Εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακῶν,
Τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
Ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.
Ατ. Καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
Λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
Ἐλθεῖν, κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.
Αγ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
Ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς,
Αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεὶ,
Τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.
Ατ. Οἲ ἐγὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι·
Ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι;
Αγ. Νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
Βαιὰ, δύσορμος ναυσὶν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
Ἐνταῦθα πέμπει τούσδ', ὅπως, ὅταν νεῶν
Φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
Κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατὸν,
Φίλους δ' ὑπεκσώζοιεν ἐναλίων πόρων,

Fragmentis remorum et ruinarum [navium] fragminibus
Feriebant, scindebant; et ploratus una cum
Ejulatu occupavit maris pelagus,
Quoad noctis nigra oculus [i. e. nox nigra] (*pugnam*) diremerit. Malorum
Vero multitudinem, etiam si per decem dies
Seriatim narrarem, ne sic quidem tibi absolverem.
Nam probe hoc scias nunquam una die
Multitudinem adeo numerosam hominum occubuisse.

AT. Heu, heu! ingens malorum pelagus ingruit
In Persas, totumque Barbarorum genus.

NUN. Hoc bene scias, nondum dimidiam partem conficere
Malorum; talis enim in eos ruit calamitas infortunii,
Quæ hæc (*quæ dixerim*) pondere suo bis superabit.

AT. Quænam fortuna hac adhuc inimicior contingat?
Dicito quam ais calamitatem exercitui
Accidisse, malorum vergentem ad majora.

NUN. Persarum quicunque erant ætate florentes,
Animoque optimi, et nobilitate insignes,
Ipsique regi ob fidelitatem inter primos semper,
Oppetierunt miserabiliter fato ingloriosissimo.

AT. Heu me miseram! ob malum infortunium,
Amici. Quanam vero morte ais hos interiisse?

NUN. Insula quædam est e regione Salaminis
Parva, statio carinis importuna, quam choreis gaudens
Pan frequentat super littore maris.
Isthuc hosce mittit, ut si quando navibus

Palati hostes in insulam evaderent, trucidarent
Facile superabilem Græcorum exercitum,
Simulque amicos servarent a marinis gurgitibus.
Male futuri præscius: cum enim deus
Gloriam navalis pugnæ Græcis dedit,
Ipsomet die corpora contegentes æreis
Armis, navibus exilierunt, et circumdederunt
Totam insulam, ut non invenirent (*Persæ*)
Quonam se verterent; nam multum et manu missis
Lapidibus percutiebantur, atque ab arcuum
Nervo sagittæ impingentes eos perdiderunt:
Postremo conciti (*Græci*) impetu unanimi
Feriunt, laniant membra infelicium (*Persarum*)
Donec omnium vitam corruperint. Xerxes vero
Lamantatus est malorum conspiciens abyssum; nam
Sellam habuit, unde facile totum perlustraret exercitum,
Altissimum (*sc.*) tumulum prope maris pelagus.
Lacerans autem vestimenta et acre ejulans, statim
Cum denuntiasset pedestri exercitui (*ut fugerent*)
Proripuit se fuga incomposita; hujusmodi tibi
Præter priorem calamitas lugenda est.

AT. O dæmon invise, ut fefellisti mente
Persas: acerbam ultionem filius meus
De claris Athenis invenit, neque suffecerunt
Quos ante Maratho Barbaros interemit.
Quos retaliatum ire filius meus statuens
Tantam multitudinem malorum attraxit.

Κακῶς τὸ μέλλον ἱστορῶν. Ὡς γὰρ θεὸς
Ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
Αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
Ὅπλοισι, ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
᾽κυκλοῦντο πᾶσαν νῆσον, ὥστ᾽ ἀμηχανεῖν
Ὅποι τράποιντο. Πολλὰ μὲν γὰρ ἐκ χερῶν
Πέτρῃσιν ἠράσσοντο, τοξικῆς τ᾽ ἄπο
Θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν·
Τέλος δ᾽ ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
Παίουσι, κρεωκοποῦσι δυστήνων μέλη,
Ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ᾽ ἀνῴμωξεν κακῶν ὁρῶν βάθος.
Ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
Ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
Ῥήξας δὲ πέπλους, κἀνακωκύσας λιγὺ,
Πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
Ἥϊξ᾽ ἀκόσμῳ ξὺν φυγῇ. Τοιάνδε σοὶ
Πρὸς τῇ πάροιθε συμφορὰν πάρα στένειν.
Ατ. Ὦ στυγνὲ δαῖμον, ὡς ἄρ᾽ ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
Κλεινῶν Ἀθηνῶν εὗρε, κοὐκ ἀπήρκεσαν,
Οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
Ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
Τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.
Σὺ δ᾽ εἰπὲ ναῶν αἳ πεφεύγασιν μόρον,
Ποῦ τάσδε γ᾽ ἔλιπες· οἶσθα σημῆναι τορῶς;

Ἀγ. Ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην
Κατ' οὖρον οὐκ εὔκοσμον αἱροῦνται φυγήν.
Στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
Διώλλυθ', οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος
Δίψει πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
Διεκπερῶμεν ἔς τε Φωκέων χθόνα
Καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
Κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιΐδος πέδον
Καὶ Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους
Βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
Δίψει τε λιμῷ τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν, ἔς τε Μακεδόνων
Χώραν ἀφικόμεσθ' ἐπ' Ἀξίου πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Παγγαῖόν τ' ὄρος,
Ἠδωνίδ' αἶαν. Νυκτὶ δ' ἐν ταύτῃ θεὸς
Χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
Ῥέεθρον ἁγνοῦ Στρυμόνος. Θεοὺς δέ τις
Τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ' ηὔχετο
Λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
Ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
Στρατὸς, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
Χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
Ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
Φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
Μέσον πόρον διῆκε, θερμαίνων φλογί·

Tu vero dic naves quæ effugerunt cladem
Ubi reliquisti ? num scis diserte indicare ?
NUN. Duces navium relictarum festinanter,
Vento secundo usi, inordinatam fugam instituunt.
Exercitus vero reliquus in terra Bœotiorum
Periit, aliqui circa Crenæas aquas
Siti laborantes, aliqui præ asthmate consumti
Transimus in Phocensium terram,
Et Doricum solum, et sinum Meliacum, ubi
Sperchius irrigat campum benigno potu;
Inde nos terræ Achaicæ campus,
Et Thessalorum civitas indigentes
Cibo exceperunt; ibi sane perierunt plurimi
Siti fameque, hæc enim ambo aderant.
Magnesiam vero in terram, Macedonumque
Regionem pervenimus, ad Axii vadum, Bolbesque
Palustrem arundinem, Pangæumque montem,
Edonida in terram; cum nocte in illa Deus
Hyemem intempestivam concitavit, congelavitque
Omne fluentum limpidi Strymonis; adeo ut Deos
Quisquis antea nequaquam putaverat, tunc oraret,
Precibus terram et cœlum adorans.
Postquam autem multum Deos invocare desiverat
Exercitus transit gelu-constrictum vadum.
Et quicunque nostrum, priusquam dispergerentur
Dei radii, conatus est (*transire*) servatus est.

Namque ardens radiis splendidus solis orbis
Medium permeavit vadum, calfaciens flamma;
Cadebant autem in se invicem. Fortunatus scilicet
Qui quam celerrime abrupit vitæ spiritum.
Quot vero residui sunt, et salutem assecuti,
Thraciam pertransientes vix multo labore
Veniunt evasi, (et hi non multi)
In patrios lares habentem: adeo ut gemat civitas
Persarum, desiderans charissimam terræ pubem.
Hæc vera sunt; multa tamen omitto loquens
Mala quæ Persis inflixit deus.

CHO. O sors difficiles labores præbens, quam nimium gravis
Pedibus insiliisti universo Persico generi.

AT. Hei mihi miseræ ob confectum exercitum.
O nocturna visio insomniorum conspicua,
Quam pertissima mihi manifestati mala.
Vos autem admodum prave de his conjectastis.
Verumtamen, quoniam hac saltem parte recto talo stat sententia
Vestra, deos quidem primo orare volo;
Dein terræ et mortuis quæ dona sunt libum
Ex ædibus meis sumens veniam. Novi equidem
Pro iis (*me hæc facturam*) quæ jam peracta sunt,
Faciam tamen si quid quod superest melius accidere
Possit. Vos autem oportet de his quæ perpetrata sunt
Fidelibus (*nobis*) fidelia conferre consilia.

'πίπτον δ' ἐπ' ἀλλήλοισιν. Εὐτυχὴς δέ τοι
Ὅστις τάχιστα πνεῦμ' ἀπέῤῥηξεν βίου.
Ὅσοι δὲ λοιποὶ, κἄτυχον σωτηρίας,
Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ
Ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
Ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
Ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
Κακῶν, ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.
Χο. Ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
Ποδοῖν ἐνήλου παντὶ Περσικῷ γένει.
Ατ. Οἳ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
Ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
Ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
Ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
Ὅμως δ' ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
Ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
Ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
Ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν.
Ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
Ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
Ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις
Πιστοῖσι πιστὰ συμφέρειν βουλεύματα·
Καὶ παῖδ', ἐάν περ δεῦρ', ἐμοῦ πρόσθεν, μόλῃ,
Παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
Μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν.

ΧΟΡΟΣ.

ΑΛΛ', ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν
Τῶν μεγαλαύχων καὶ πολυάνδρων
Στρατιὰν ὀλέσας,
Ἄστυ τὸ Σούσων ἠδ' Ἀγβατάνων
Πένθει δνοφερῷ κατέκρυψας.
Πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
Κατερεικόμεναι, διὰ μυδαλέοις
Δάκρυσι κόλπους
Τέγγουσ', ἄλγους μετέχουσαι.
Αἱ δ' ἁβρογόοι Περσίδες, ἀνδρῶν
Ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
Λέκτρων τ' εὐνὰς ἁβροχίτωνας,
Χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
Πενθοῦσι γόοις ἀκορεστοτάτοις.
Κἀγὼ δὲ μόρον τῶν οἰχομένων
Αἴρω δοκίμως πολυπενθῆ.
Νῦν γὰρ πρόπασα μὲν στένει στροφὴ α΄.
Γαῖ' Ἀσιὰς ἐκκενουμένα.
Ξέρξης γὰρ ἤγαγεν, ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
Βαρίδεσσι ποντίαις.
Τί ποτε Δαρεῖος μὲν οὔ-
πω τότ' ἀβλαβὴς ἐπῆν

Et filium, si prius quam ego, hic venerit,
Consolamini, et deducite domum,
Ne insuper ad mala addatur malum.
CHO. At o Jupiter rex, modo Persarum
Superbientium et numerosorum
Copiis perditis,
Urbes Susa et Ecbatana
Luctu caliginoso obnupsisti.
Multæ vero teneris manibus calyptras
Scindentes humidis
Lachrymis sinus
Rigant, doloris participes.
Verum molliter gementes Persides, virorum
Expetentes videre nuperam conjunctionem,
Et lectorum strata mollibus stragulis,
Luxuriosæ [teneræ] pubertatis delectationis usura privatæ
Lugent gemitibus insatiabilibus.
Et ego quoque eorum, qui perierunt,
Fatum prorsus luctuosum suscipio.
Nunc enim universa luget [*strophe* 1.
Terra Asiæ exhausta.
Xerxes enim duxit, papæ!
Xerxes vero perdidit, tatæ!
Xerxes quidem omnia secum duxit imprudenter
Navigiis marinis.
Cur tandem Darius non potius illo tempore

Innocuus præfuit
Dux civibus,
Susidis charus princeps ?
Terrestres enim et marinas (*copias*) [*antistrophe* 1.
Istæ similiter alatæ (i. *velis instructæ*) cæruleis
Proris naves duxerunt, papæ !
Naves perdiderunt, tatæ !
Naves mortiferis congressibus.
Et per Græcorum manus
Vix effugere regem
Ipsum audivimus
Thraciæ per campestres
Et frigidissimas vias.
At qui primo fato sunt functi, heu ! [*strophe* 2.
Relicti ex necessitate, eheu !
Circa littora Cychrea, o o !
* * * Geme et te ipsum affige
Graviterque vociferare
Ad cœlum sublatis clamoribus lugubribus. o o !
Extende ululatricem
Clamosam misellam vocem.
Vexati vero a mari atroci, heu ! [*antistrophe* 2.
Spoliantur [lacerantur] a mutis, eheu !
Filiis immaculati (*maris*) o o !
Luget vero virum (*suum*) domus orbata.
Parentesque liberis privati

Τοξάρχης πολιήταις,
Σουσίδος φίλος ἄκτωρ;
Πεζούς τε γὰρ θαλασσίους θ' ἀντις. ά.
Ὁμόπτεροι κυανώπιδες
Νᾶες μὲν ἄγαγον, ποποῖ,
Νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
Νᾶες πανωλεθρίαισιν ἐμβολαῖς.
Διὰ δ' Ἰαόνων χέρας
Τυτθά γ' ἐκφυγεῖν ἄνακτ'
Αὐτὸν ὡς ἀκούομεν
Θρήκης ἀμπεδιήρεις
Δυσχείμους τε κελεύθους.
Τοὶ δ' ἄρα πρωτόμοροι δή, φεῦ, στροφὴ β'.
Ληφθέντες πρὸς ἀνάγκαν, ἠέ,
Ἀκτὰς ἀμφὶ Κυχρείας, ὀά
* * * * *
Στένε καὶ δακνάζου,
Βαρὺ δ' ἀμβόασον
Οὐράνι' ἄχη, ὀά,
Τεῖνε δὲ δυσβάϋκτον
Βοᾶτιν τάλαιναν αὐδάν.
Γναπτόμενοι δ' ἀλὶ δεινᾷ, φεῦ, ἀντις. β'.
Σκύλλονται πρὸς ἀναύδων, ἠέ,
Παίδων τᾶς ἀμιάντου, ὀά.
Πενθεῖ δ' ἄνδρα δόμος στερηθείς·
Τοκῆες δ' ἄπαιδες

Δάκρυσιν ἔῤῥανται,
Δαιμόνι᾽ ἄχη, ὀὰ,
᾽δυρόμενοι γέροντες·
Τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
Τοὶ δ᾽ ἀνὰ γᾶν ᾽Ασίαν δὴν στροφὴ γ΄.
Οὐκ ἔτι περσονομοῦνται,
Οὐκ ἔτι δασμοφοροῦσι
Δεσποσύνησιν ἀνάγκαις,
Οὐδ᾽ ἐς γᾶν προσπίτνοντες
῞Αρξονται. Βασίλεια
Γὰρ διόλωλεν ἰσχύς·
Οὐδ᾽ ἔτι γλῶσσα βροτοῖσιν ἀντ. γ΄.
᾽Εν φυλακαῖς. λέλυται γὰρ
Λαὸς ἐλεύθερα βάζειν,
῾Ως ἐλύθη ζυγὸν ἀλκᾶς.
Αἱμαχθεῖσα δ᾽ ἄρουρα
Αἴαντος περικλύστα
Νᾶσος ἔχει τὰ Περσῶν.

ΑΤΟΣΣΑ. ΧΟΡΟΣ.

ΑΤΟΣΣΑ.

ΦΙΛΟΙ, κακῶν μὲν ὅστις ἔμπορος κυρεῖ,
᾽Επίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
Κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
῞Οταν δ᾽ ὁ δαίμων εὐροῇ, πεποιθέναι
Τὸν αὐτὸν αἰεὶ δαίμον᾽ οὐριεῖν τύχης.

Lachrymis rigantur;
Immensamque calamitatem, heu!
Senes conqueruntur;
Omnem enim jam dolorem audiunt.
Certe per Asiam terram [*strophe* 3.
Non amplius legibus Persarum vivent,
Non amplius tributa pendent
Despoticis exactionibus,
Neque in terra procidentes [coram rege]
Parebunt. Nam regiæ
Periere vires;
Non amplius lingua mortalibus [*antistrophe* 3.
Vinculis coercetur. Solutus est
Populus ad vociferandum libere,
Quamprimum solutum est jugum fortitudinis [imperii.]
Sanguine vero imbuta tellus
Ajacis insula
Circumflua obtinet Persarum [fortunas.]

AT. O amici, quicunque in malis vector est,
Novit quod mortalibus quando fluctus
Malorum irruerit, omnia timere solet;
Quando vero prosper sit fortunæ flatus, sperare
Eos fortunam eodem vento secundo semper adspiraturam
Mihi enim jam timoris plena omnia
Et adversaria a diis oculis obversantur.

Intonatque auribus clamor haud pæanius;
Talis malorum consternatio perterret mentem.
Etenim viam hanc sine curribus,
Et pristino ornatu, ex ædibus rursus
Emensa sum, filii patri placantia libamina
Ferens, quæ (*sunt*) mortuorum delinifica;
Ad immaculata vacca album potu-suave lac,
Et florilegæ (*apis*) stillam, pellucidum mel,
Cum guttis aqueis fontis virginei,
Purumque ab agresti matre
Potum, antiquæ vitis huncce honorem,
Et in foliis semper virentis per vitam
Flavæ oleæ fructus fragrans adest,
Floresque plectiles omniferæ terræ proles.
Sed, o amici, ad has inferias
Hymnos accinite, divumque
Darium revocate; ego vero terræ epotandos
Hosce præmittam honores inferis diis.

CHO. Regina mulier, decus Persarum,
Et tu mitte inferias sub receptacula terræ,
Et nos hymnis rogabimus
Mortuorum deductores,
Ut benevoli sint sub terra.
Cæterum terrestres dii sancti,
Terraque, et Mercuri, et tu rex inferiorum,

Ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα
Ἐν ὄμμασίν τ' ἀνταῖα φαίνεται θεῶν·
Βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος.
Τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
Τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων,
Χλιδῆς τε τῆς πάροιθεν, ἐκ δόμων πάλιν
Ἔστειλα, πατρὶ παιδὸς εὐμενεῖς χοὰς
Φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια·
Βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
Τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
Λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
Ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
Ποτὸν, παλαιᾶς ἀμπέλου γάνος τόδε,
Τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
Ἄνθη τε πλεκτὰ, παμφόρου γαίας τέκνα.
Ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
Ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ' ἐγὼ
Τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

Χο. Βασίλεια γύναι, πρέσβος Πέρσαις,
Σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
Ἡμεῖς θ' ὕμνοις αἰτησόμεθα
Φθιμένων πομποὺς
Εὔφρονας εἶναι κατὰ γαίας.
Ἀλλὰ χθόνιοι δαίμονες ἁγνοὶ,

Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
Πέμψατ' ἔνερθε ψυχὴν ἐς φάος.
Εἰ γάρ τι κακῶν ἄχος οἶδε πλέον,
Μόνος ἂν θνητῶν πέρας εἴποι.
Ἦ ρ' ἀΐει μου μακαρί- στροφὴ α'.
τας ἰσοδαίμων βασιλεὺς
Βάρβαρα σαφηνῆ
Ἱέντος τὰ παναίολ' αἰ-
ανῆ δύσθροα βάγματα;
Παντάλαν' ἄχη διαβοάσω.
Νέρθεν ἆρα κλύει μου;
Ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλ- ἀντιστ. α'.
λοι χθονίων ἁγεμόνες
Δαίμονα μεγαυχῆ
Ἰόντ' αἰνέσατ' ἐκ δόμων,
Περσᾶν Σουσιγενῆ θεόν·
Πέμπετε δ' ἄνω, οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.
Ἦ φίλος ἀνὴρ, ἦ φίλος ὄχθος· στροφὴ β'.
Φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς ἀν-
είης, Ἀϊδωνεὺς,
Ἄκακον θεῖον ἄνακτα Δαρεῖον, ἠέ.
Οὔτε γὰρ ἄνδρας πώποτ' ἀπώλλυ ἀντ. β'.
Πολεμοφθόροισιν ἄταις,
Θεομήστωρ τ' ἐκικλήσκετο

Mittite ex inferis animam in lucem.
Nam si quid amplius infortunii noverit,
Solus mortalium terminum diceret.
An me audit, beatus [*strophe* 1.
Diis æqualis rex,
Mittentem Barbaras
Perspicuas omnifarias
Luctuosas infelices voces?
Miserrimos dolores perboabo.
Num ex inferis me audit?
Sed tu Terra, vosque alii [*antistrophe* 1.
Inferorum ductores
Deum magnificum
Celebrate mihi e domibus vestris exeuntem,
Persarum Susis natum Deum:
Et sursum mittite (*talem*) qualem antequam nunquam
Persica terra occuluit.
Heu virum amabilem! heu amabile sepulchrum! [*stro.* 2.
Amabiles enim tegit mores.
Et Pluto deductor remittes
Pluto
Innocuum divinum regem Darium. eja!
Neque enim viros unquam perdidit [*antistrophe* 2.
Bello absumentibus noxis,
Sed divinus-consultor vocabatur
Persis et divinus-consultor erat;

Quoniam bene administravit [duxit] exercitum. eia!
O rex, antique rex, [*strophe* 3.
Age, veni,
Accede ad summum cacumen
Tumuli croco tinctam
Pedis attollens crepidam,
Regiæ tiaræ
Fasciam ostendens.
Accede pater optime Darie, hei!
Ut nova audias, [*antistrophe* 3.
Et recentia mala;
Domine domini
Appare. Stygia enim
Caligo circumvolavit (*nos.*)
Quippe jam juventus
Universa periit.
Accede pater optime Darie, hei!
Heu, heu, heu, heu.
O multum ab amicis deflete cum morereris:
Quare hæ o dynasta, dynasta,
Circa tuam geminæ
Grassarentur labes
Totam hanc terram?
Perierunt funditus triremes
Naves nenaves, nenaves [infaustæ.]
DAR. O fidi fidorum [dominorum consiliarii,] ei coætanei

Πέρσαις, θεομήστωρ δ'
Ἔσκεν, ἐπεὶ στρατὸν εὖ ἐποδώκει. ἠέ.
Βαλὴν, ἀρχαῖος βαλὴν, ἴθι, ἵκου, στροφὴ γ'.
Ἐλθ' ἐπ' ἄκρον κόρυμ-
βον ὄχθου, κροκόβαπτον
Ποδὸς εὔμαριν ἀείρων,
Βασιλείου τιάρας
Φάλαρον πιφαύσκων.
Βάσκε πάτερ ἄκακε Δαρεῖ, ἄνει,
Ὅπως καινά τε κλύῃς νέα τ' ἄχη· ἀντις. γ'.
Δέσποτα δεσπότου,
Φάνηθι. Στυγία γάρ
Τις ἐπ' ἀχλὺς πεπόταται.
Νεολαία γὰρ ἤδη
Κατὰ πᾶσ' ὄλωλε.
Βάσκε πάτερ ἄκακε Δαρεῖ, ἄνει.
Αἶ αἶ αἶ αἶ, ἐπῳδός.
Ὦ πολύκλαυτε φίλοισι θανών·
Τί τάδε, δυνάστα, δυνάστα,
Περὶ τᾷ σᾷ δίδυμα
Διάνοιεν ἁμάρτια
Πάσᾳ γᾷ τᾷδ';
Ἐξέφθινθ' αἱ τρόσκαλμοι
Νᾶες, ἄναες νᾶες.

ΔΑΡΕΙΟΣ. ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΔΑΡΕΙΟΣ.

Ω ΠΙΣΤΑ πιστῶν, ἥλικές θ' ἥβης ἐμῆς,
Πέρσαι γεραιοὶ, τίνα πόλις πονεῖ πόνον;
Στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
Λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας,
Ταρβῶ, χοὰς δὲ πρευμενεῖς ἐδεξάμην.
Ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου,
Καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις,
Οἰκτρῶς καλεῖτέ μ'. ἔστι δ' οὐκ εὐέξοδον
Ἄλλως τε πάντως, χ' οἱ κατὰ χθονὸς θεοὶ
Λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
Ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
Ἥκω· 'τάχυνα δ', ὡς ἄμεμπτος ὦ χρόνου.
Τί δ' ἔστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

Χο. Σέβομαι μὲν προσιδέσθαι,
Σέβομαι δ' ἀντία λέξαι
Σέθεν, ἀρχαίῳ περὶ τάρβει.

Δα. Ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
Μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
Εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.

Χο. Δέομαι μὲν χαρίσασθαι,
Δέομαι δ' ἀντία φάσθαι,
Λέξας δύσλεκτα φίλοισιν.

Δα. Ἀλλ' ἐπεὶ δέος παλαιόν σοι φρενῶν ἀνθίσταται

Meæ juventæ Persæ senes, quali labore laborat
Civitas? gemit, pulsatur, scinditurque solum.
Videns vero meam conjugem prope sepulchrum
Horresco, libamina tamen propitia suscepi.
Vos autem lamentamini stantes prope tumulum,
Et voce intenta loquens luctibus animam educentibus,
Miserabiliter evocatis me. Ast exitus haud facilis est,
Alias omnino subterranei dii ad accipiendum
Quam ad dimittendum promptiores sunt.
Tamen ego apud ipsos auctoritate pollens veuio: properavi
vero,
Ut propter tempus (*protractum*) sim inculpabilis.
Quodnam autem est Persis prægravans recens malum?

CHO. Vereor quidem intueri,
Vereor et alloqui
Te, antiquo præ timore.

DAR. Sed quoniam ab inferis veni tuis persuasus luctibus,
Orationem neutiquam prolixam sed concisam efferens
Dic, et percurre omnia, amissa erga me reverentia.

CHO. Metuo quidem gratificari,
Metuo vero coram alloqui,
Fando nefanda amicis.

DAR. Sed quoniam metus antiquus tuis præcordiis obstitit,
Tori mei grandæva consors, generosa mulier, fletuum
Horum desinens, luctuumque, apertum aliquid dicito.
Humana sunt, quæ mortalibus accidere solent infortunia

Multa quidem ex mari, multa vero ex terra mala
Eveniunt mortalibus, si longior vita alterius extendatur.

AT. O tu qui omnium mortalium superasti faustitatem felici fato,
Quique, quamdiu vidisti solis radios, admirabilis existens
Vitam ævi prosperi Persis, tanquam deus, transegisti.
Nunc etiam te beatum duco cum mortuus sis
Antequam videres malorum abyssum.
Etenim omnem audies sermonem Darie breviter.
Eversæ sunt Persarum res, ut verbo dicam.

DAR. Quonam modo? venitne pestilentiæ aliquis impetus, aut seditio in urbem?

AT. Nequaquam: sed prope Athenas omnis deletus est exercitus.

DAR. Quis vero meorum filiorum illuc duxit exercitum? dicito.

AT. Bellicosus Xerxes, evacuans totam continentis regionem.

DAR. Terrane an mari periculum hoc miser stulte fecit?

AT. Utrinque: duplex erat facies duorum exercituum.

DAR. Quomodo tantus exercitus pedestris peregit transitum?

AT. Machinis conjunxit fretum Helles, ut transirent.

DAR. Etiam hoc peregit, ut Bosporum magnum clauderet?

AT. Sic se habet, et hoc propositum deorum aliquis promovit.

DAR. Heu magnus aliquis venit genius, ne saperet bene.
Ut tandem videre liceat quali modo mala perpetravit.

DAR. Quid autem passi sunt illi quibus ita ingemiscis?

AT. Navalis exercitus profligatus perdidit terrestrem exercitum.

Τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι,
Κλαυμάτων λήξασα τῶνδε καὶ γόων, σαφές τι μοὶ
Λέξον. Ἀνθρώπεια δ' ἄν τοι πήματ' ἔντυχοι βροτοῖς.
Πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χερσὲ κακὰ
Γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.

Ἀτ. Ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
Ὃς θ', ἕως ἔλευσσας αὐγὰς ἡλίε, ζηλωτὸς ὢν,
Βίοτον εὐαίωνα Πέρσαις, ὡς θεὸς, διήγαγες.
Νῦν τέ σε ζηλῶ θανόντα πρὶν κακῶν ἰδεῖν βάθος.
Πάντα γὰρ, Δαρεῖ', ἀκέσῃ μῦθον ἐν βραχεῖ χρόνῳ.
Διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.

Δα. Τίνι τρόπῳ; λοιμὲ τις ἦλθε σκηπτὸς, ἢ στάσις πόλει;

Ἀτ. Οὐδαμῶς, ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατός.

Δα. Τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον.

Ἀτ. Θέριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρε πλάκα.

Δα. Πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;

Ἀτ. Ἀμφότερα. Διπλῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.

Δα. Πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;

Ἀτ. Μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν, ὥστ' ἔχειν πόρον.

Δα. Καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλεῖσαι μέγαν;

Ἀτ. Ὧδ' ἔχει· γνώμης δέ που τὶς δαιμόνων ξυνήψατο.

Δα. Φεῦ· μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.

Ἀτ. Ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

Δα. Καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;

Ἀτ. Ναυτικὸς στρατὸς κακωθεὶς πέζον ὤλεσε στρατόν.

Δα. Ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
Ἀτ. Πρὸς τάδ᾽ ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει,..
Δα. Ὦ πόποι κενῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
Ἀτ. Βακτρίων δ᾽ ἔῤῥει πανώλης δῆμος, οὐδέ τις γέρων.
Δα. Ὦ μέλεος, οἵαν ἄρ᾽ ἥβην ξυμμάχων ἀπώλεσε.
Ἀτ. Μονάδα δὲ Ξέρξην ἐρημόν φασιν ὀ πολλῶν μέτα....
Δα. Πῶς δὲ δὴ καὶ ποῖ τελευτᾷς; ἔστι τις σωτηρία;
Ἀτ. Ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν.
Δα. Καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε; τοῦτ᾽ ἐτήτυμον;
Ἀτ. Ναί· λόγος κρατεῖ σαφηνής· τοῦτό γ᾽ οὐκ ἔνι στάσις.
Δα. Φεῦ· ταχεῖά γ᾽ ἦλθε χρησμῶν πρᾶξις· ἐς δὲ παῖδ᾽ ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων. ἐγὼ δέ που
Διὰ μακροῦ χρόνου τάδ᾽ ηὔχουν ἐκτελευτῆσαι θεούς.
Ἀλλ᾽ ὅταν σπεύδῃ τις αὐτὸς, χῶ θεὸς ξυνάπτεται.
Νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις.
Παῖς δ᾽ ἐμὸς τάδ᾽ οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει,
Ὅστις Ἑλλήσποντον ἱερὸν, δοῦλον ὣς, δεσμώμασιν.
Ἤλπισε σχήσειν, ῥέοντα Βόσπορον ῥόον θεοῦ,
Καὶ πόρον μετεῤῥύθμιζε, καὶ πέδαις σφυρηλάτοις
Περιβαλὼν, πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
Θνητὸς ὢν θεῶν τε πάντων ᾤετ᾽, οὐκ εὐβουλίᾳ,
Καὶ Ποσειδῶνος κρατήσειν. Πρὸς τάδ᾽ οὐ νόσος φρενῶν
Εἶχε παῖδ᾽ ἐμόν; Δέδοικα μὴ πολὺς πλούτου πόνος
Οὑμός ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
Ἀτ. Ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται

DAR. Itane penitus hasta deletus est omnis exercitus?

AT. Adeo ut Susarum tota lugeat civitas hominum vacuitatem.

DAR. Proh dii immortales, vanum auxilium et adjumentum exercitus. [aliquis senex.

AT. Bactriorum periit perditissimus populus, neque inter eos

DAR. O miser, qualem pubem sociorum perdidit!

AT. Unum vero Xerxem desertum ferunt cum haud multis—

DAR. Quomodo autem et quorsum [narrando finis]? estne quædam salus? [transire.

AT. Lubentem illum pontem duabus annexum continentibus

DAR. Et salvum ad hanc evasisse continentem, hoccine verum?

AT. Næ: sermo manifestus vincit; in hoc nulla discrepantia inest. [Jupiter

DAR. Heu! velox evenit oraculorum eventus; in meum filium
Immisit exitum prædictionum. Ego vero
Sperabam ut dii hæc longo post tempore perfectum irent.
Sed quando aliquis suapte sponte festinat [in perniciem ruit,] deus quoque se ad eam rem [ad accelerandum exitium,] adjungit.
Nunc omnibus amicis meis fons malorum inventus [a me expositus] esse videtur. [perfecit,
Filius meus, cum hæc non perspiceret, juvenili audacia
Qui sacrum Hellespontem instar servi in vinculis
Superavit se habiturum, fluentem Bosporum fluentum dei,
Et fretum permutavit, adactasque malleo pedicas
Injiciens, multum viæ paravit numeroso exercitui, [silio,
Mortalis existens, deos enim omnes putabat (*se*) pessimo con-

Ipsumque Neptunum superaturum. Nonne inter hæc morbus animi (*mania*)
Filium meum tenuit? metuo ne magna divitiarum nostrarum labor
Hominibus fiat præoccupantis præda.

AT. Hæc cum malis hominibus consuetudinem habens didicit
Bellicosus Xerxes; quippe qui dicant, te quidem ingentes
Opes bello acquisivisse, hunc autem præ timiditate filiis
Domi hastam quatere, et paternas opes neutiquam augere
Talia a malis hominibus sæpe audiens opprobria
Hanc expeditionem deliberavit, exercitumque (*traduxit*) in Græciam.

DAR. Ab illis nempe opus peractum est,
Maximum, semper memorandum, quale nondum
Cadens viris vacuam reddidit hanc Susarum urbem,
Ex quo hunc honorem Jupiter rex præbuit,
Unus vir toti Asiæ ovium altrici
Ut præesset, habens gubernans sceptrum.
Primus enim dux exercitus erat Medus,
Alter ejus filius opus hoc perfecit,
Prudentia enim animum ejus gubernabat.
Tertius ab illo Cyrus, vir fortunatus,
Cum imperavit, omnibus pacem constituit amicis:
Lydorumque et Phrygum acquisivit populum,
Totamque Ioniam subegit vi.
Deus enim non invidit (*successum*), adeo benevolus fuit.
Quartus Cyri filius dein moderavit exercitum:
Quintus vero Mardus imperavit, dedecus patriæ,
Et solio antiquo: hunc cum dolo

Θούροις Ξέρξης. Λέγουσι δ', ὡς σὺ μὲν μέγαν τέκνοις
Πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
Ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
Τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
Τήνδ' ἐβούλευσεν κέλευθον, καὶ στράτευμ' ἐφ' Ἑλλάδα.

Δα. Τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
Μέγιστον, αἰείμνηστον, οἷον οὐδέπω
Τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
Ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
Ἕν' ἄνδρ' ἁπάσης Ἀσιάδος μηλοτρόφου
Ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
Ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσε,
Φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν.
Τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνὴρ,
Ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
Θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς, τέταρτος ηὔθυνε στρατόν·
Πέμπτος δὲ Μέρδις ἦρξεν, αἰσχύνη πάτρᾳ,
Θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
Ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
Ἕκτος δὲ Μάραφις, ἕβδομός τ' Ἀρταφρένης.
Κἀγὼ πάλου τ' ἔκυρσα, τοῦπερ ἤθελον,

Κατεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.
Ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ' ἐμὸς παῖς, ὢν νέος, νέα φρονεῖ,
Κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς.
Εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
Ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
Οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.
Χο. Τί οὖν; ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
Λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
Πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
Δα. Εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
Μηδ' ἦν στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
Αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
Χο. Πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
Δα. Κτείνουσα λιμῷ τοὺς ὑπερκόμπους ἄγαν.
Χο. Ἀλλ' εὐσταλῆ καὶ λεκτὸν αἴρομεν στόλον.
Δα. Ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
Στρατὸς κυρήσει νοστίμου σωτηρίας.
Χο. Πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
Περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
Δα. Παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
Χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
Βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μὲν, τὰ δ' οὔ.
Κεἴπερ τάδ' ἐστὶ, πλῆθος ἔκκριτον στρατοῦ
Λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.

Interfecit Artaphrenes bonus in ædibus,
Cum viris amicis, quibus hoc erat negotium.
Sextus autem Maraphis, septimusque Artaphrenes.
Et ego quidem sortitus sum hanc quam volui sortem,
Multaque debellavi numeroso exercitu.
Sed haud tale malum ingessi in urbem.
Xerxes vero filius meus, juvenis cum sit, juvenilia sapit,
Neque meorum recordatur mandatorum.
Nam hoc clare satis cognoscitis coætanei mei,
Omnes nos, qui hæc tenuimus imperia,
Nunquam visi sumus damna fecisse tanta.

CHO. Quid igitur, rex Darie, quonam dirigis
Sermonum finem? quomodo post hæc adhuc
Optime faciamus Persarum populus?

DAR. Si exercitum in Græciam non ducatis,
Neque si Medicus major sit exercitus.
Ipsa enim terra auxiliaris illis (*Græcis*) est.

CHO. Quomodo hæc dixisti? quali modo auxiliatur?

DAR. Interficiens fame fastuosos nimium.

CHO. Sed expeditum et lectum recipimus exercitum.

DAR. At neque qui nunc manet in Græciæ regionibus
Exercitus obtinebit salutarem reditum.

CHO. Quid ais? nonne totus barbarorum exercitus
Transit Helles fretum ab Europa?

DAR. Imo pauci ex multis; si quid fidei habere deorum
Oportet oraculis, in ea quæ nunc peracta

Pertinentia, non enim res ex parte evenerunt, ex parte non.
Et siquidem hæc ita sunt, multitudinem
Selectam exercitus reliquit vanæ spei confidens [Xerxes.]
Manent vero ubi Asopus campum fluctibus
Irrigat, pinguefactorium gratum Bœotiorum solo;
Ubi extrema malorum manet eos pati,
Pœnas contumeliæ, et impiorum consiliorum:
Qui in terram Græcanicam migrantes, nec deorum
Simulacra verebantur violare, neque fana comburere.
Aræ abolentur, et delubra deorum
Radicitus confuse e fundamentis eversa sunt.
Certe cum male fecerint, non minora patiuntur,
Aliaque passuri sunt, neque adhuc malorum
Fundus subest, sed amplius scaturiunt.
Tantum enim erit sanguinis concrementum
In agro Platæensi sub hasta Dorica;
Ut mortuorum cumuli ad tertiam usque sobolem
Sine voce ostenderint oculis mortalium,
Quod non oportet hominem arroganter sapere.
Nam contumelia efflorescens fert spicam
Damni, unde [homo] metit lachrymosam messem.
Tales autem videntes horum castigationes,
Memores sitis Athenarum et Græciæ, neque quis
Despecta fortuna præsente, aliam
Concupiscens sortem, effundat ingentes opes.
Jupiter sane, vindex nimis insolentium

Μίμνουσι δ', ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
Ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
Οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
Ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
Οἳ γῆν μολόντες Ἑλλάδ', οὐ θεῶν βρέτη
Ἠδοῦντο συλᾷν, οὐδὲ πιμπράναι νεώς·
Βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
Πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων.
Τοιγὰρ κακῶς δράσαντες, οὐκ ἐλάσσονα
Πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
Κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται.
Τόσος γὰρ ἔσται πέλανος αἱματοσταγὴς
Πρὸς γῆν Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
Θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ
Ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν,
Ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
Ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
Τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια
Μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
Ὑπερφρονήσας τὸν παρόντα δαίμονα,
Ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
Φρονημάτων ἔπεισιν, εὔθυνος βαρύς.
Πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένον,
Πινύσκετ' εὐλόγοισι νουθετήμασι,
Λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.

Σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
Ἐλθοῦσ' ἐς οἴκους, κόσμον ὅστις εὐπρεπὴς
Λαβοῦσ' ὑπαντίαζε παιδί· πάντα γὰρ
Κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
Στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων.
Ἀλλ' αὐτὸν εὐφρόνως σὺ πραΰνον λόγοις.
Μόνης γὰρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
Ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω·
Ὑμεῖς δὲ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
Ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν,
Ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΧΟΡΟΣ.

Η ΠΟΛΛΑ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
Ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.
Ἀτ. Ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
Ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
Ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
Ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
Ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
Ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι.
Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

ΧΟΡΟΣ.

Ὦ πόποι, ἦ μεγάλας . . . . . στροφή.

Moliminum instat, censor gravis.
Porro vos eum moderatione animi indigentem.
Monete eum rectis monitionibus
Desinere deos lædere insolenti audacia.
Tu vero grandæva mater chara Xerxis,
Domum ingressa, ornatu adprime decoro
Sumpto, obviam ito filio (*tuo*:) plane enim
Præ dolore malorum laciniæ circa corpus
Variegatarum vestium staminibus ruptis diffluunt [lacerate pendent.]
Quare tu ipsum sermodibus prudenter mitiga.
Novi enim quod te solam audiens se continebit
Ego vero abeo ad inferos sub caliginem terræ.
At vos senes gaudete licet inter mala
Indulgentes animis voluptatem quotidie;
Quoniam mortuis nihil prosunt divitiæ.

CHO. Certe multas et præsentes et adhuc futuras
Barbarorum clades dum audirem, dolui.

AT. O fortuna, quam multi mihi ingruunt mali
Dolores, maxime vero hæc mordet calamitas,
Dedecus circum corpus filii
Vestimentorum audientem, quod eum ambit.
Sed ibo, et mundo e domo sumpto
Meo obviare filio aggrediar:
Non enim charissimos prodemus inter mala.

CHO. O dii, certe amplam [*strophe.*

Bonamque in urbe urbem administrantem vitam
Adepti sumus, quando senex
Ad omnia sufficiens, probus,
Invictus rex deo par
Darius imperabat regioni.
Primum quidem probatissimo [*antistrophe.*
Exercitu clari fuimus, et turrita (*i. urbana*)
Instituta recte administrabant (*Persæ*:)
Reditus autem ex bellis
Sine labore sine perpessionibus nos feliciter agentes
Duxerunt domum.
Quam multas vero cepit urbes,
Cum non transmisisset trajectum
Halyos fluvii,
Ne quidem e foco suo motus,
Quales sunt Strymonii maris
Acheloides (*insulæ*) vicinæ
Thraciis mapaliis
Procul a mari quæ
Circa terrestrem
Mœnibus circumductæ reductæ turrim [murum]
Huic regi parebant,
Helles circa trajectum
Latum superbientes [positæ]
Recessusque Propontidis,
Et ostium Ponti,

Ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς
Ἐπεκύρσαμεν, εὖθ᾽ ὁ γηραιὸς
Πανταρκὴς, ἀκάκας,
Ἄμαχος βασιλεὺς, ἰσόθεος
Δαρεῖος ἆρχε χώρας.
Πρῶτα μὲν εὐδοκίμου ἀντις.
Στρατιᾶς ἀπεφαινόμεθ᾽, ἠδὲ νόμιμα τὰ πύργινα πάντ᾽ ἐπεύθυνον·
Νόστοι δ᾽ ἐκ πολέμων
Ἀπόνους ἀπαθεῖς ἡμᾶς εὐπράσσοντας ἆγον ἐς οἴκους.
Ὅσας δ᾽ εἷλε πόλεις, μονος.
Πόρον οὐ διαβὰς
Ἅλυος ποταμοῦ
Οὐδ᾽ ἀφ᾽ ἑστίας συθεὶς,
Οἷαι Στρυμονίου πελάγους
Ἀχελωΐδες εἰσὶ πάροικοι
Θρηκίων ἐπαύλων
Λίμνας τ᾽ ἔκτοθεν, αἳ
Κατὰν χέρσον ἐληλαμέναι πέρι πύργον
Τοῦδ᾽ ἄνακτος ἄϊον,
Ἑλλάς τ᾽ ἀμφὶ πόρον
Πλατὺν αὐχόμεναι
Μυχία τε Προποντὶς
Καὶ στόμα Πόντου,

Νᾶσοί θ' αἱ κατὰ πρῶν'
Ἄλιον περίκλυστοι
Τᾷδε γᾷ προσήμεναι,
Οἵα Λέσβος, ἐλαι-
όφυτός τε Σάμος,
Χῖος, ἠδὲ Πάρος,
Νάξος, Μύκονος,
Τήνῳ τε συνάπτουσ'
Ἄνδρος ἀγχιγείτων·
Καὶ τὰς ἀγχιάλους
Ἐκράτυνε μεσακτίους,
Λῆμνον, Ἰκάρου θ' ἕδος
Καὶ Ῥόδον, ἠδὲ Κνίδον
Κυπρίας τε πόλεις,
Πάφον, ἠδὲ Σόλους,
Σαλαμῖνά τε, τᾶς
Νῦν ματρόπολις
Τῶνδ' αἰτία στεναγμάτων·
Καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον
Ἰόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε
Σφετέραις φρεσίν· ἀκάματον δὲ παρῆν
Σθένος ἀνδρῶν τευχηστήρων,
Παμμίκτων τ' ἐπικούρων·
Νῦν δ' οὐκ ἀμφιλόγως
Θεότρεπτα τάδ' αὖ

Et insulæ quæ juxta promontorium
Marinum circumfluæ,
Huic adjacentes terræ
Qualis Lesbus, et
Olivifera Samus,
Chius, atque Parus,
Naxus, Myconus,
Tenoque conjuncta
Andrus vicina:
Et littorales
Obtinuit maritimas
Lemnum, Icarique sedem,
Et Rhodum, et Gnidum,
Cypriasque urbes,
Paphum, atque Solos,
Et Salamina, cujus
Nunc metropolis
Horum causa gemituum:
Etiam ditissimas,
In regione Ionibus sorte data, populosas
Græcorum obtinuit
Pro sua prudentia:
Quippe insuperabile aderat (*ei*)
Robur virorum armatorum,
Et ex omni gente mixtorum auxiliarium:
Nunc vero sine controversia

Ista a deo (*in nos*) versa e contrario
Ferimus (*mala*) in bellis
Domiti vehementer
Plagis marinis.
XER. Heu! infelix ego sortitus hoc fatum
Exosum ultra conjecturam;
Quam crudeliter fortuna invasit
Persarum populum! quid patiar miser?
Solutum enim est robur membrorum meorum,
Istam civium ætatem intuenti
Utinam, ô Jupiter, etiam me cum viris
Qui oppetierunt
Mortis fatum occultasset.
CHO. Otototoi, rex præstantis exercitus,
Et Persas regentis insignis honoris,
Ornamentique virorum
Quos nunc Deus detondit,
Terra vero deplorat indigenam
Pubem interfectam, a Xerxe inferos
Adimplente, Persarum. Ecbatanorum enim
Plurimi viri, regionis flos,
Arcu-domantes (plane seges
Decem millium hominum) interierunt.
XER. Heu, heu, præclarum robur.
CHO. Asiatica etiam gens, o rex,
Ad terram usque graviter, graviter

Φέρομεν, πολέμοισι
Δμαθέντες μεγάλως
Πλαγαῖς τε ποντίαισιν.

ΞΕΡΞΗΣ. ΧΟΡΟΣ.

ΞΕΡΞΗΣ.

ΙΩ, δύστηνος ἐγὼ στυγερᾶς μοίρας
Τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
Ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ. Τί πάθω τλήμων;
Λέλυται γὰρ ἐμοὶ γυίων ῥώμη,
Τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
Εἴθ' ὤφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
Τῶν οἰχομένων
Θανάτου κατὰ μοῖρα καλύψαι.
Χο. Ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
Καὶ Περσονόμου τιμῆς μεγάλης,
Κόσμου τ' ἀνδρῶν,
Οὓς νῦν δαίμων ἀπέκειρε·
Γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
Ἥβαν, Ξέρξᾳ κταμέναν, Ἅδου
Σάκτορι, Περσᾶν. Ἀγβατάνων γὰρ
Πολλοὶ φῶτες, χώρας ἄνθος,
Τοξοδάμαντες, πάνυ γὰρ φύστις
Μυριὰς ἀνδρῶν, ἐξέφθινται.
Ξέρ. Αἶ αἶ αἶ αἶ, κεδνᾶς ἀλκᾶς.

Χο. Ἀσία δὲ χθὼν, βασιλεῦ, γαίας
Αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

Ξέρ. Ὅδ' ἐγὼν, οἶ οἶ, αἰακτὸς,
Μέλεος, γέννᾳ γᾷ τε πατρί-
ᾳ κακὸν ἄρ' ἐγενόμαν.

Χο. Πρόσφθογγόν σοι νόστου, τὰν
Κακοφάτιδα βοὰν
Κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
Πέμψω, πέμψω,
Πολύδακρυν ἰαχάν.

Ξέρ. Ἵετ' αἰανὴν καὶ πανόδυρτον
Δύσθροον αὐδάν.
Δαίμων γὰρ ὅδ' αὖ
Μετάτρεπτος ἐπ' ἐμοί.

Χο. Ἥσω τοι καὶ πανόδυρτον
Λαοπαθῆ τε σεβίζων
Ἁλίτυπά τε βάρη
Πόλεως γέννας πενθητῆρος·
Κλάγξω δ' αὖ γόον ἀρίδακρυν.
Ἰώνων γὰρ ἀπηύρα
Ἰώνων ναύφρακτος
Ἄρης ἑτεραλκὴς,
Νυχίαν πλάκα κερσάμενος
Δυσδαίμονά τ' ἀκτάν.

Ξέρ. Οἶ οἶ οἶ βόα, καὶ πάντ' ἐκπεύθου

Χο. Ποῦ δέ σοι φίλων ὄχλος,

Genu inclinavit.

XER. Ipse vero, heu, heu, deflendus
Miser generi terræque patriæ
Exitio fui.

CHO. Salutatorium tui reditus,
Mala-prædicantem clamorem,
Mala-accinentem vocem
Mariandynæi ejulatoris
Emittam emittam, flebilem ululatum.

XER. Edite lugubrem doloris et
Ejulatus plenam vocem.
Fortuna enim rursus mala
In me conversa est.

CHO. Edam et luctuosum (*threnum*)
Celebrans calamitates ab hostibus immissas
Marique inflictas
Civitatis stirpis luctuosæ:
Clangam denuo luctum lachrymis uberem.
Græcorum enim eripuit [illum juventutis florem]
Græcorum inquam navalis
Mars, adversæ partis auxiliator,
Nocturnum [infaustum] æquor, demetiens
Et infelix littus.

XER. Heu heu heu! vociferare et omnia percontare.

CHO. Ubinam tibi amicorum cœtus?
Ubinam Satrapæ tui?

Qualis erat Pharandaces,
Susas, Pelago et
Dotamas atque Agdabates,
Psammis et Susiscanes
Qui Ecbatana reliquit.
XER. Perditos destitui Tyria
Ex navi projectos in littoribus
Salaminiis, aspera
Defunctos in littora.
CHO. Heu heu heu! ubinam vero Pharnuchus,
Ariomardusque bonus?
Ubi Sebalces rex,
Aut Lilæus a bono patre natus,
Memphis, Tharybis, et Masistres,
Artembaresque aut Hystæchmes?
Hæc te rursus interrogo.
XER. Hei mihi, hei mihi;
Antiquas aspicientes
Invisas Athenas, omnes
Unius conflictûs tumultu
(Heu, heu, heu!) miseri
Humi palpitant.
CHO. Num et ibi Persarum
Tuum fidelem oculum
Myriadum omnium numeratorem,
Alpistum filium Batanochi,

Ποῦ δέ σοι παραστάται
Οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων,
Καὶ Δοτάμας, ἠδ' Ἀγδαβάτας,
Ψάμμις, Σουσισκάνης τ'
Ἀγβάτανα λιπών;

Ξέρ. Ὀλόους ἀπέλιπον Τυρίας
Ἐκ ναὸς ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινίσι, στυφελοὺς
Θείνοντας ἐπ' ἀκτάς.

Χο. Οἳ οἳ οἳ, ποῦ δέ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθὸς
Ποῦ δὲ Σευάλκης ἄναξ,
Ἢ Λίλαιος εὐπάτωρ
Μέμφις, Θάρυβις, καὶ Μασίστρας,
Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας;
Τάδε σ' ἐπανηρόμαν.

Ξέρ. Ἰὼ, ἰώ μοι μοι
Τὰς ὠγυγίους κατιδόντες
Στυγνὰς Ἀθάνας, πάντες
Ἑνὶ πιτύλῳ
Ἓ ἓ ἓ, τλάμονες
Ἀσπαίρουσι χέρσῳ.

Χο. Ἦ καὶ τὸν Περσῶν αὐτοῦ
Σὸν πιστὸν ὄντ' ὀφθαλμὸν
Μυρία μυρία πεμπαστὰν,

Βατανώχου παῖδ' Ἄλπιστον
Τοῦ Σησάμα τοῦ Μυγαβάτα,
Πάρθον τε, μέγαν τ' Οἰβάρην
Ἔλιπες, ἔλιπες;
Ξέρ. Ὦ ὢ δαΐων.
Χο. Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.
Ξέρ. Ἴυγγά μοι δῆτ' ἀγαθῶν
Ἑτάρων ὑπομιμνήσκεις,
Ἄλαστα στυγνὰ πρόκακα
Λέγων. βοᾷ βοᾷ
Μελέων ἔνδοθεν ἦτορ.
Χο. Καὶ μὴν ἄλλο γε ποθοῦμεν
Μάρδων ἀνδρῶν μυριοντάρχαν
Ξάνθην, ἄρειόν τ' Ἀχάρην,
Δίαιξίν τ', ἠδ' Ἀρσάκην
Ἱππιανάκτας
Κιγδαγάταν, καὶ Λυθίμαν,
Τόλμον τ' αἰχμᾶς ἀκόρεστον.
Ξέρ. Ἔταφεν, ἔταφεν, οὐκ ἀμφὶ σκηναῖς
Τροχηλάτοισιν, ὄπισθε δ' ἑπόμενοι.
Βεβᾶσι γὰρ οἵπερ ἀκρόται στρατοῦ,
Βεβᾶσιν, οἳ οἵ, νώνυμοι.
Χο. Ἰὴ ἰή, ἰὼ ἰὼ ἰὼ ἰώ,
Δυσδαίμονες ἔθετ' ἄ-
ελπτον κακὸν διαπρέπον
Οἷον δέδορκεν ἄτα.

Filii Sesami, filii Mygabatæ,
Partheumque magnumque Œbarem
Reliquisti, reliquisti?

XER. Proh misera [hostes.]

CHO. Persis præclaris mala urgentia [ante oculos posita] dicis.

XER. Desiderium videlicet bonorum
Sociorum memoras,
Gravia odiosa mala præsentia
Dicens: clamat clamat
Intra membra cor.

CHO. Attamen aliud quid desideramus,
Mardorum virorum myriadum principem
Xanthem, Mavortiumque Ancharem
Diæxinque, et Arsacen,
Equitum duces,
Cigdagatem et Lythimnem,
Tolmumque hastæ inexplebilem.

XER. Sepulti, sepulti sunt, non circa tentoria
Rotis vecta, verum pone insequentes.
Abierunt enim principes exercitus,
Abierunt, heu, heu, ignobiles.

CHO. Heu heu heu heu heu heu!
Infelices dæmones patrastis
Malum inopinatum insigne
Quale Ate spectat [cum voluptate.]

XER. Afflicti sumus, tales fortunæ adversitates.

CHO. Afflicti sumus: manifesta enim:
Novitiæ novitiæ calamitates calamitates.
Græcorum classiarios
Adorti parum feliciter.
In bello infaustum sane Persarum genus.
XER. Quomodo non? miser tanto exercitu (*perdito*)
Animo percellor.
CHO. Quid enim? nonne perierunt
Maximæ (*copiæ*) Persarum?
XER. Vides reliquias hasce meæ expeditionis?
CHO. Video, video.
XER. Et hanc sagittarum capacem——
CHO. Quid hoc quod dicis?
XER. Repositorum servatum sagittis.
CHO. Certe pauca e multis.
XER. Destituti sumus auxiliaribus.
CHO. Nonne Græcus populus aversatur arma?
XER. Imo animosus est; aspexi vero
Cladem inexpectatam.
CHO. In fugam versam classicam
Catervam dicis?
XER. Peplum quidem laceravi præ mali calamitate.
CHO. Papæ papæ papæ papæ.
XER. Imo vero plus quam papæ.
CHO. Gemina enim sunt et tergemina.
XER. Molesta (*nobis*) hostibus vero gaudia.

Ξέρ. Πεπλήγμεθ', οἷαι δαίμονος τύχαι.
Χο. Πεπλήγμεθ'· εὔδηλα γάρ·
Νέαι νέαι δύαι δύαι.
'Ιαόνων ναυβατᾶν
Κύρσαντες οὐκ εὐτυχῶς.
Δυσπόλεμον δὴ τὸ γένος Περσῶν.
Ξέρ. Πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον
Τάλας πέπληγμαι.
Χο. Τί δ' οὖν; ὄλωλεν
Μεγάλα τὰ Περσῶν.
Ξέρ. 'Ορᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;
Χο. 'Ορῶ, ὁρῶ.
Ξέρ. Τάνδι τ' ὀϊστοδέγμονα...
Χο. Τί τόδε λέγεις;
Ξέρ. σεσωσμένον
Θησαυρὸν βέλεσι.
Χο. Βαιά γ' ὡς ἀπὸ πολλῶν.
Ξέρ. 'Εσπανίσμεθ' ἀρωγῶν.
Χο. 'Ιαόνων λαὸς οὐ φυγαίχμας.
Ξέρ. 'Αγανόριος· κατεῖδον
Δὲ πῆμ' ἄελπτον.
Χο. Τραπέντα ναύφρακτον
'Ερεῖς ὅμιλον;
Ξέρ. Πέπλον δ' ἀπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ.
Χο. Παπαῖ, παπαῖ, παπαῖ, παπαῖ.
Ξέρ. Καὶ πλεῖον ἢ παπαῖ μὲν οὖν.

Χο. Δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
Ξέρ. Λυπρὰ, χάρματα δ' ἐχθροῖς.
Χο. Καὶ σθένος γ' ἐκολούσθη.
Ξέρ. Γυμνός εἰμι προπομπῶν·
Χο. Φίλων τ', ἄταισι ποντίαισι.
Ξέρ. Δίαινε, δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.
Χο. Αἶ αἶ αἶ αἶ, δύα, δύα.
Ξέρ. Βόα νυν ἀντίδουπά μοι.
Χο. Δόσιν κακὰν κακῶν κακοῖς.
Ξέρ. Ἴυζε μέλος ὁμοῦ τιθείς.
Χο. Ὀττοττοτοῖ.
Ξέρ. Βαρεῖά γ' ἅδε συμφορά.
Χο. Οἴμοι, μάλα καὶ τόδ' ἀλγῶ.
Ξέρ. Ἔρεσσ' ἔρεσσε, καὶ στέναζ' ἐμὴν χάριν.
Χο. Διαίνομαι γοεδνὸς ὤν.
Ξέρ. Βόα νυν ἀντίδουπά μοι.
Χο. Μέλειν πάρεστι, δέσποτα.
Ξέρ. Ἐπορθίαζε νῦν γόοις.
Χο. Ὀττοττοτοῖ. μέλαινα δ' αὖ μεμίξεται
Στονόεσσα πλαγά.
Ξέρ. Καὶ στέρν' ἄρασσε, κἀπιβόα τὸ Μύσιον.
Χο. Ἄνια, ἄνια.
Ξέρ. Καί μοι γενείου πέρθε λευκήρη τρίχα.
Χο. Ἄπριγδ' ἄπριγδα, μάλα γοεδνά.
Ξέρ. Ἀΰτει δ' ὀξύ.
Χο. Καὶ τάδ' ἔρξω.

Ξέρ. Πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
Χο. Ἄνια, ἄνια.
Ξέρ. Καὶ ψάλλ' ἔθειραν, καὶ κατοίκτισαι στρατόν.
Χο. Ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.
Ξέρ. Διαίνου δ' ὄσσε.
Χο. Τέγγομαί τοι.
Ξέρ. Βόα νυν ἀντίδουπά μοι.
Χο. Οἶ οἶ οἶ οἴ.
Ξέρ. Αἰακτὸς ἐς δόμους κίε.
Χο. Ἰὼ ἰὼ Περσὶς αἶα δυσβάϋκτος.
Ξέρ. Ἰωὰ δὴ κατ' ἄστυ.
Χο. Ἰωὰ δῆτα; ναὶ, ναί.
Ξέρ. Γοᾶσθ' ἁβροβάται.
Χο. Ιὼ ἰὼ, Περσὶς αἶα δυσβάϋκτος.
Ξέρ. Ἢ ἢ ἢ ἢ, τρισκάλμοισιν,
Ἢ ἢ ἢ ἢ, βάρισιν ὀλόμενοι.
Χο. Πέμψω σε δυσθρόοις γόοις.

EXCUDEBAT N. BLISS LONDINI.


3 2044 058 205 212